

B

ἩΡΟΔΟΤΟΥ

ἉΛΙΚΑΡΝΑΣΣΕΩΣ

ἹΣΤΟΡΙΑ.

HERODOTI HALICARNASSENSIS HISTORIA.

EX EDITIONE JACOBI GRONOVII;

TOMIS NOVEM.

COELATUMQUE NOVEM MUSIS OPUS. HOR.

ADJECTUS EST, EX EADEM EDITIONE, LIBER DE VITA HOMERI; VULGO SED FALSO, ADSCRIPTUS HERODOTO.

TOM. IX.

GLASGUAE:
IN AEDIBUS ACADEMICIS
EXCUDEBANT ROBERTUS ET ANDREAS FOULIS
ACADEMIAE TYPOGRAPHI
M DCCLXI.



ΤΩΝ ΤΟΥ

ΗΡΟΔΟΤΟΥ

ἹΣΤΟΡΙΩΝ

ΕΝΝΑΤΗ,

ΕΠΙΓΡΑΦΟΜΕΝΗ

ΚΑΛΛΙΟΠΗ.

HERODOTI

HISTORIARUM

LIBER NONUS,

QUI INSCRIBITUR

CALLIOPE.

ΤΩΝ ΤΟΥ

ΗΡΟΔΟΤΟΥ

ἹΣΤΟΡΙΩΝ

ΕΝΝΑΤΗ,

ΕΠΙΓΡΑΦΟΜΕΝΗ

ΚΑΛΛΙΟΠΗ.

ΟἹ μὲν, ταῦτα ὑποκριναμένων Ἀθηναίων, ἀπαλλάσσοντο ἐς Σπάρτην. Μαρδόνιος δὲ, ὥς οἱ ἀπονοστήσας Ἀλέξανδρος τὰ παρὰ Ἀθηναίων ἐσήμηνε, ὁρμηθεὶς ἐκ Θεσσαλίης, ἦγε τὴν στρατιὴν σπουδῇ ἐπὶ τὰς Ἀθήνας. ὅκου δὲ ἑκάστοτε γίνοιτο, τούτους παρελάμβανε. τοῖσι δὲ Θεσσαλίης ἡγεομένοισι οὔτε τὰ πρὸ τοῦ πεπρηγμένα μετέμελε οὐδὲν, πολλῷ τε μᾶλλον ἐπῆγον τὸν Πέρσην· καὶ συμπροέπεμψέ τε Θώρηξ ὁ Λαρισσαῖος Ξέρξεα φεύγοντα, καὶ τότε ἐκ τοῦ φανεροῦ παρεῖκε Μαρδόνιον ἐπὶ τὴν Ἑλλάδα.

HERODOTI

HISTORIARUM

LIBER NONUS,

QUI INSCRIBITUR

CALLIOPE.

HOC ab Athenienſibus reddito reſponſo Lacedaemonii Spartam reverterunt. Mardonius autem, poſteaquam regreſſus ad eum Alexander Athenienſium reſponſa indicavit, movens e Theſſalia, citato agmine Athenas ire contendit, quacunque iter faciebat, illinc viros ad bellum ſumens. At Theſſaliae principes adeo non poenitebat eorum quae antehac egerant, ut etiam multo ſtudioſius Perſam inducerent. E quibus Thorax Lariſſaeus et Xerxem effugientem deduxerat, et tunc Mardonium propalam tranſmittebat in Graeciam.

2. Poſtquam vero exercitus progrediens in Boeotos venit, Thebani Mardonium exceperunt; ſuadendoque non ſinebant progredi longius, quod negarent ullum locum ponendis caſtris opportuniorem eſſe quam illum, ubi ſubſidens conſequeretur, ut omnem Graeciam ſine proelio ſubigeret. Arduum enim eſſe univerſis etiam hominibus vi ſubigere Graecos inter ſe convenientes: quod et antea cognoviſſent. ‘ Si vero feceris (dicebant) quod nos ſuademus, occupabis nullo negotio validiſſima quaeque illorum conſilia. Mitte pecuniam ad eos qui praepotentes ſunt in civitatibus: miſſa pecunia Graeciam ſeparando conturbabis: hinc eos qui tecum non ſentient, cum factioſis facile evertes.’

3. Haec Thebani ſuadebant: quibus

β'. Ἐπεὶ δὲ πορευόμενος γίνεται ὁ στρατὸς ἐν Βοιωτοῖσι, οἱ Θηβαῖοι κατελάμβανον τὸν Μαρδόνιον· καὶ συνεβούλευον αὐτῷ, λέγοντες ὡς οὐκ εἴη χῶρος ἐπιτηδεώτερος ἐνστρατοπεδεύεσθαι ἐκείνου. οὐδὲ ἔων ἰέναι ἑκαστέρω, ἀλλ' αὐτοῦ ἱζόμενον, ποιέειν ὅκως ἀμαχητὶ τὴν πᾶσαν Ἑλλάδα καταστρέψηται. κατὰ μὲν γὰρ τὸ ἰσχυρὸν Ἕλληνας ὁμοφρονέοντας, οἵπερ καὶ πάρος ταυτὰ ἐγίνωσκον, χαλεπὰ εἶναι περιγίνεσθαι καὶ ἅπασι ἀνθρώποισι· ' εἰ δὲ ποιήσειας τὰ ἡμεῖς ' παραινέομεν, (ἔφασαν λέγοντες) ἕξεις ' ἀπόνως ἅπαντα τὰ κείνων ἰσχυρὰ [a] βου-' λεύματα. πέμπε χρήματα ἐς τοὺς δυ-' ναστεύοντας ἄνδρας ἐν τῇσι πόλισι· πέμ-' πων δὲ, τὴν Ἑλλάδα διαστήσεις· ἐν-' θεῦτεν δὲ τοὺς μὴ τὰ σὰ φρονέοντας, ' ῥηϊδίως μετὰ τῶν στρασιωτέων κατα-' στρέψεαι.'

γ'. Οἱ μὲν ταῦτα συνεβούλευον· ὁ δὲ

a Vox haec ἰσχυρὰ non est in MS.

ὐκ ἐπείθετο, ἀλλά οἱ δεινὸς ἐνέστακτο ἵμερος τὰς Ἀθήνας δεύτερα ἑλεῖν· ἅμα μὲν ὑπ' ἀγνωμοσύνης, ἅμα δὲ πυρσοῖσι διὰ νήσων ἐδόκεε βασιλέϊ δηλώσειν ἐόντι ἐν Σάρδισι, ὅτι ἔχοι Ἀθήνας. ὃς οὐδὲ τότε ἀπικόμενος ἐς τὴν Ἀττικὴν εὗρε τὺς Ἀθηναίυς, ἀλλ' ἔν τε Σαλαμῖνι τὺς πλείστυς ἐπυνθάνετο εἶναι, ἔν τε τῇσι νηυσὶ, αἱρέει τε ἐρῆμον τὸ ἄστυ. ἡ δὲ βασιλῆος αἵρεσις ἐς τὴν ὑστέρην[b] τὴν Μαρδονίυ ἐπιστρατηΐην, δεκάμηνος ἐγένετο.

δ'. Ἐπεὶ δὲ ἐν Ἀθήνῃσι ἐγένετο Μαρδόνιος, πέμπει ἐς Σαλαμῖνα Μυριχίδην, ἄνδρα Ἑλλησπόντιον, φέροντα τὺς αὐτὺς λόγυς τὺς καὶ Ἀλέξανδρος ὁ Μακεδὼν τοῖσι Ἀθηναίοισι διεπόρθμευσε. ταῦτα δὲ τοδεύτερον ἀπέστελλε, προέχων μὲν τῶν Ἀθηναίων οὐ φιλίας γνώμας, ἐλπίζων δέ σφεας ὑπήσειν τῆς ἀγνωμοσύνης, ὡς δορυαλώτυ ἐύσης τῆς Ἀττικῆς χώρης, καὶ ἐύσης ὑπ' ἑωϋτῷ. τυτέων μὲν εἵνε-

[b] ὑστεραίην.

ille obtemperandum non putavit, partim acri quadam libidine Athenas iterum occupandi, partim animi faſtu; denique quod videbatur incenſis per inſulas ignibus ſignificaturus regi Sardibus agenti, Athenas ab ipſo teneri. Igitur in Atticam contendens, quum illic Athenienſes ne tunc quidem inveniſſet, ſed pleroſque aut Salamine, aut in claſſe eſſe audiret, urbem cepit deſertam, decimo menſe quàm fuerat ab ipſo rege capta.

4. Illic quum eſſet, Salaminem mittit Murichidem, virum Helleſpontium, cum eiſdem mandatis quae Alexander Macedo ad Athenienſes pertulerat. Mittebat autem eadem vice altera, gnarus ille quidem non benevolo erga ipſum animo eſſe Athenienſes, ſed ſperans contumaciam depoſituros, tanquam ſubacta Attica regione, et ſub ipſius imperio poſita. hac

de cauſſa Murichidem miſit Salaminem.

5. Is ubi in ſenatum venit, Mardonii mandata expoſuit. et e ſenatoribus Lycidas ſententiam dixit, Satius videri ſibi eſſe, ut ea quae Murichides apud ſenatum diceret, ipſi admittentes ad populum referrent. Hanc ille ſententiam dicebat ſive quod pecuniam a Mardonio accepiſſet, ſive quod ea ipſi probarentur. Quod ſimulatque audiere Athenienſes, tam ii qui ex ſenatu, quam qui extra eum erant, confeſtim indigne ferentes, Lycidam circumſteterunt, lapidibuſque interemerunt: Helleſpontium vero Murichidem dimiſerunt illaeſum. Excitato circa Lycidam Salamine tumultu cognoſcunt quod geſtum erat, Athenienſium uxores; et alia aliam exhortantes atque prehendentes, ultro domum Lycidae adiere, hominiſque uxorem ac liberos lapidaverunt.

κα ἀπέπεμψε Μȣρίχίδην ἐς Σαλαμῖνα.

έ. Ὁ δὲ, ἀπικόμενος ἐπὶ τὴν βȣλὴν, ἔλεγε τὰ παρὰ Μαρδονίȣ. τῶν δὲ βȣλευτέων Λυκίδης εἶπε γνώμην, ὡς ἐδόκεε ἄμεινον εἶναι, δεξαμένȣς τὸν λόγον τόν σφι Μȣριχίδης προφέρει, ἐξενεῖκαι ἐς τὸν δῆμον. ὁ μὲν δὴ ταύτην τὴν γνώμην ἀπεφαίνετο, εἴτε δὴ δεδεγμένος χρήματα παρὰ Μαρδονίȣ, εἴτέ οἱ καὶ ταῦτα ἑάνδανε. Ἀθηναῖοι δὲ, αὐτίκα δεινὸν ποιησάμενοι, οἵ τε ἐκ τῆς βȣλῆς καὶ οἱ ἔξωθεν, ὡς ἐπύθοντο, περιστάντες, Λυκίδεα κατέλευσαν βάλλοντες, τὸν δὲ Ἑλλησπόντιον Μȣριχίδην, ἀπέπεμψαν ἀσινέα. γενομένȣ δὲ θορύβȣ ἐν τῇ Σαλαμῖνι περὶ τὸν Λυκίδεα, πυνθάνονται τῶν Ἀθηναίων αἱ γυναῖκες τὸ γινόμενον. διακελευσαμένη δὲ γυνὴ γυναικὶ, καὶ παραλαβȣ̃σα, ἐπὶ τὴν Λυκίδεω οἰκίην ἤεσαν αὐτοκελέες· καὶ κατὰ μὲν ἔλευσαν αὐτȣ̃ τὴν γυναῖκα, κατὰ δὲ τὰ τέκνα.

ϛʹ. Ἐς δὲ τὴν Σαλαμῖνα διέβησαν Ἀθηναῖοι ὧδε· ἕως μὲν προσεδέκοντο τὸν ἐκ τῆς Πελοποννήσου στρατὸν ἥξειν τιμωρήσοντά σφι, οἱ δὲ ἔμενον ἐν τῇ Ἀττικῇ. ἐπεὶ δὲ οἱ μὲν μακρότερά τε καὶ σχολαίτερα ἐποίεον, ὁ δὲ ἐπιὼν καὶ δὴ ἐν τῇ Βοιωτίῃ[c] ἐλέγετο εἶναι, οὕτω δὴ ὑπεξεκομίσαντό τε πάντα, καὶ αὐτοὶ διέβησαν ἐς Σαλαμῖνα· ἐς Λακεδαίμονά τε ἔπεμπον ἀγγέλους, ἅμα μὲν, μεμφομένους τοῖσι Λακεδαιμονίοισι ὅτι περιεῖδον ἐμβαλόντα[d] τὸν βάρβαρον ἐς τὴν Ἀττικὴν, ἀλλ' οὐ μετὰ σφέων ἠντίασαν ἐς τὴν Βοιωτίην· ἅμα δὲ, ὑπομνήσοντας ὅσα σφι ὑπέσχετο ὁ Πέρσης μεταβαλοῦσι δώσειν· προεῖπαι τε[e] ὅτι εἰ μὴ ἀμυνεῦσι Ἀθηναίοισι, ὡς καὶ αὐτοί τινα ἀλεωρὴν εὑρήσονται. οἱ γὰρ δὴ Λακεδαιμόνιοι ὥρταζόν τε τοῦτον τὸν χρόνον, καί σφι ἦν Ὑακίνθια· περὶ πλείστου δ' ἦγον τὰ τοῦ θεοῦ πορσύνειν. ἅμα δὲ τὸ τεῖχός σφι τὸ ἐν τῷ Ἰσθμῷ

[c] ἐς τὴν Βοιωτίην. [d] ἐσβαλόντα. [e] προεῖπε τε.

6. Hoc autem modo Athenienſes in Salaminem tranſierunt: Quamdiu ipſi copias e Peloponneſo venturas ſibi auxilio expectabant, tamdiu in Attica manſerunt: at ubi et ſocii tardius ſegniuſque agunt, et Mardonius adventans jam eſſe in Boeotia audiebatur, ita exportatis omnibus rebus et ipſi in Salaminem trajecerunt, nunciosque Lacedaemonem miſerunt, ſimul conqueſtum de Lacedaemoniis, qui neglectui haberent barbarum in Atticam ingreſſum, neque cum ipſis ei in Boeotiam occurriſſent; ſimul admonituros, quae ſibi, ſi ad eum deficere vellent, Perſa ſpopondiſſet: tum praedicere, niſi praeſidio Athenienſibus eſſent, ſe aliquod remedium inventuros. Agebant per id tempus Lacedaemonii ſolennia quae vocantur Hyacinthia: quae feſta dei celebrare plurimi faciebant. ad haec murum ſibi in

Iſthmo extruebant, qui jam pinnas accipiebat.

7. Poſteaquam nuntii Athenienſium Lacedaemonem venerunt, ducentes ſimul Megarenſium ac Plataeenſium legatos, ad Ephoros admiſſi, ita loquuti ſunt, ' Athenienſes miſerunt nos, dicentes regem ' Medorum cum noſtram nobis regionem ' reddere, tum ſocietatem nobiſcum velle ' aequis conditionibus inire citra fraudem ' et dolum, tum velle quoque aliam re' gionem noſtrae addere, quam ipſi noſtro ' arbitrio optaverimus: nos tamen reve' rentia Jovis Graeci, et pro atroci ducentes prodere Graeciam, non annuimus, ' ſed omnia recuſavimus, quamvis injuria ' affecti a Graecis ac vehementer proditi. ' Qui, etſi non ignoremus conducibilius ' eſſe nobis ſocietatem inire cum Perſa, ' quam bellum gerere, tamen ſponte noſ' tra ſocietatem non inibimus. Et ſic qui-

ἐτείχεον, καὶ ἤδη ἐπάλξεις ἐλάμβανε.

ζ΄. Ὡς δὲ ἀπίκοντο ἐς τὴν Λακεδαί-
μονα οἱ ἄγγελοι οἱ ἀπ᾽ Ἀθηναίων, ἅμα
ἀγόμενοι ἔκ τε Μεγάρων ἀγγέλους καὶ
ἐκ Πλαταιέων, ἔλεγον τάδε ἐπελθόντες
ἐπὶ τοὺς ἐφόρους, ‘ Ἔπεμψαν ἡμέας Ἀ-
‘ θηναῖοι, λέγοντες ὅτι ἡμῖν βασιλεὺς ὁ
‘ Μήδων, τοῦτο μὲν, τὴν χώρην ἀποδι-
‘ δοῖ· τοῦτο δὲ, συμμάχους ἐθέλει ἐπ᾽ ἴσῃ
‘ τε καὶ ὁμοίῃ ποιήσασθαι, ἄνευ τε δόλου
‘ καὶ ἀπάτης. ἐθέλει δὲ καὶ ἄλλην χώ-
‘ ρην πρὸς τῇ ἡμετέρῃ διδόναι, τὴν ἂν αὐ-
‘ τοὶ ἑλώμεθα. ἡμεῖς δὲ, Δία τε Ἑλ-
‘ λήνιον αἰδεσθέντες, καὶ τὴν Ἑλλάδα
‘ δεινὸν ποιεύμενοι προδοῦναι, οὐ καταινέ-
‘ σαμεν, ἀλλὰ πάντα τε ἀπειπάμεθα,
‘ καίπερ ἀδικεόμενοι ὑπ᾽ Ἑλλήνων καὶ
‘ καταπροδιδόμενοι· ἐπιστάμενοί τε ὅτι
‘ κερδαλεώτερόν ἐστι ὁμολογέειν τῷ Πέρ-
‘ σῃ μᾶλλον ἤπερ πολεμέειν· οὐ μὲν οὐδὲ
‘ ὁμολογήσομεν ἑκόντες εἶναι. καὶ τὸ μὲν

‘ ἡμέτερον ὗτω [f] ἀκίβδηλον ἐὸν νέμεται
‘ ἐπὶ τὺς Ἕλληνας· ὑμεῖς δὲ, ἐς πᾶσαν
‘ ἀῤῥωδίην τότε ἀπικόμενοι μὴ ὁμολογή-
‘ σωμεν τῷ Πέρσῃ, ἐπεί τε ἐξεμάθετε
‘ τὸ ἡμέτερον Φρόνημα σαφέως, ὅτι ὐδα-
‘ μᾶ προδώσομεν τὴν Ἑλλάδα, καὶ διότι
‘ τεῖχος ὑμῖν διὰ τῦ Ἰσθμῦ ἐλαυνόμενον
‘ ἐντελές ἐςι, καὶ δὴ λόγον ὐδένα τῶν
‘ Αθηναίων ποιέεσθε· συνθέμενοί τε ἡμῖν
‘ τὸν Πέρσην ἀντιώσεσθαι ἐς τὴν Βοιω-
‘ τίην, προδεδώκατε, περιείδετέ τε ἐσβα-
‘ λόντα ἐς τὴν Αττικὴν τὸν βάρβαρον. ἐς
‘ μέν νυν τὸ παρεὸν Αθηναῖοι ὑμῖν μη-
‘ νίυσι. ὐ γὰρ ἐποιήσατε ἐπιτηδέως. νῦν
‘ δὲ ὅτι τάχος ςρατιὴν ἅμα ἡμῖν ἐκέ-
‘ λευσαν ὑμέας ἐκπέμπειν, ὡς ἂν τὸν
‘ βάρβαρον δεκώμεθα ἐν τῇ Αττικῇ. ἐπει-
‘ δὴ γὰρ ἡμάρτομεν τῆς Βοιωτίης, τῆς γε
‘ ἡμετέρης ἐπιτηδεώτατόν ἐςι μαχέσα-
‘ σθαι τὸ Θριάσιον πεδίον.’

ή. Ὡς δὲ ἄρα ἄκυσαν οἱ ἔφοροι ταῦ-

[f] MS. τὸ μὲν ἀπ' ἡμέων ὗτω.

' dem quod noſtri eſt officii, purum ſim-
' plexque adminiſtratur erga Graecos.
' At vos, qui tunc in omnem metum de-
' veneratis ne paciſceremur cum Perſa,
' poſteaquam compertam penitus habu-
' iſtis ſententiam noſtram, nequaquam
' prodendi Graeciam, et murum quem in
' Iſthmo inaedificabatis abſolviſtis, et ſane
' nullam habetis Athenienſium rationem;
' et quum conveneritis nobiſcum de oc-
' currendo Perſae ad Boeotiam, deſerto-
' res extitiſtis, pro nihilo ducentes barba-
' rum Atticam eſſe ingreſſum. Itaque
' vobis Athenienſes in praeſens uſque ſuc-
' cenſent, quod non eſtis officio functi:
' quod ſupereſt, ut primo quoque tem-
' pore nobiſcum copias mittatis jubent;
' quo barbarum in Attica excipiamus.
' Quoniam enim in Boeotia tergiverſati
' ſumus, noſtra in terra campus Thriaſi-
' us appoſitiſſimus eſt ad dimicandum.'

8. Haec ubi accepere Ephori, reſpon-

ſum in diem poſterum diſtulerunt, poſtero die in alterum: idque in decem dies fecerunt, diem de die extrahentes. Intra quod tempus univerſi Peloponnenſes magno ſtudio incumbentes, Iſthmum muro interclufere, ad finemque perduxere. Neque auſim dicere cauſſam, cur iſti magnopere ſolliciti fuerint, quum Alexander Macedo Athenas venit, ne Athenienſes Medum amplecterentur, nunc autem nihil prorſus curaverint, aliam; quam quod ipſis Iſthmus inaedificatus erat. Ita putabant non amplius quicquam Athenienſibus indigere. At ſub adventum Alexandri in Atticam, murus nondum perfectus erat; ſed extruebant, Perſarum vehementi metu capti.

9. Tandem et reſponſum et exitus Spartiatarum fuit hujuſmodi: Pridie quam ultima conſtitutio futura eſſet, vir Tegeata, nomine Chileus, apud Lacedaemonios

τα, ἀνεβάλλοντο ἐς τὴν ὑςεραίην ὑποκρίνασθαι· τῇ δὲ ὑςεραίῃ, ἐς τὴν ἑτέρην. τῦτο δὲ ϗ ἐπὶ δέκα ἡμέρας ἐποίεον, ἐξ ἡμέρης ἐς ἡμέρην ἀναβαλλόμενοι. ἐν δὲ τῦτῳ τῷ χρόνῳ τὸν Ισθμὸν ἐτείχεον, σπεδὴν ἔχοντες πολλὴν πάντες Πελοποννήσιοι· καί σφι ἦν πρὸς τέλεϊ. ἐδ' ἔχω εἶπαι τὸ αἴτιον, διότι ἀπικομένε μὲν Αλεξάνδρε τῦ Μακεδόνος ἐς Αθήνας σπεδὴν μεγάλην ἐποιήσαντο μὴ μηδίσαι Αθηναίες, τότε δὲ ὤρην ἐποιήσαντο ἐδεμίην, ἄλλό γε ἢ ὅτι ὁ Ισθμός σφι ἐτετείχιςο· καὶ ἐδόκεον Αθηναίων ἔτι δεῖσθαι ἐδέν. ὅτε δὲ ὁ Αλέξανδρος ἀπίκετο ἐς τὴν Ατlικὴν, ἔκω ἀπετετείχιςο· ἐργάζοντο δὲ, μεγάλως καταῤῥωδηκότες τὲς Πέρσας.

θ'. Τέλος δὲ, τῆς τε ὑποκρίσιος ϗ ἐξόδε τῶν Σπαρτιητέων ἐγένετο τρόπος τοιόσδε· τῇ προτεραίῃ τῆς ὑςάτης καταςάσιος μελλέσης ἔσεσθαι, Χίλεος ἐνόματι[a], ἀνὴρ Τεγεήτης, δυνάμενος ἐν Λακεδαίμονι

[a] Haec vox ὀνόματι non eſt in MS.

μέγιςον ξείνων, τῶν ἐφόρων ἕνα ἐπύθεῖο[b] πάντα λόγον τὸν δὴ οἱ Ἀθηναῖοι ἔλεγον. ἀκȣ́σας δὲ ὁ Χίλεος[c], ἔλεγε, ‘ Ἆρα σφι ‘ τάδε ȣ̏τω ἔχει, ἄνδρες ἔφοροι· Ἀθηναίων ‘ ἡμῖν ἐόντων μὴ ἀρθμίων, τῷ δὲ βαρϐά- ‘ ρῳ συμμάχων, καίπερ τείχεος διὰ τȣ̃ ‘ Ἰσθμȣ̃ ἐληλαμένȣ κρατερȣ̃, μεγάλαι ‘ κλισιάδες ἀναπεπτέαῖαι ἐς τὴν Πελο- ‘ πόννησον τῷ Πέρσῃ. ἀλλ᾽ ἐσακȣ́σατε ‘ πρίν τι ἄλλο Ἀθηναίοισι δόξαι σφάλμα ‘ τῇ Ἑλλάδι φέρον.’

ι΄. Ὁ μέν σφι ταῦτα συνεϐȣ́λευε· οἱ δὲ, φρενὶ[d] λαϐόντες τὸν λόγον, αὐτίκα φράσαῖες ȣ̓δὲν τοῖσι ἀγγέλοισι τοῖσι ἀπιγμένοισι ἀπὸ τῶν πολίων, νυκτὸς ἔτι ἐκπέμπȣσι πεῖακιςχιλίȣς Σπαρτιητέων, κ̀ ἑπτὰ περὶ ἕκαςον τάξαντες τῶν εἱλώτων, Παυσανίῃ τῷ Κλεομϐρότȣ ἐπιτάξαντες ἐξάγειν. ἐγίνετο μὲν ἡ ἡγεμονίη Πλειςάρχȣ τȣ̃ Λεωνίδεω· ἀλλ᾽ ὁ μὲν, ἦν ἔτι παῖς, ὁ δὲ, τȣ́τȣ ἐπίτροπός τε κ̀

b MS. τῶν ἐφόρων ἐπύθετο, sine vocula ἕνα. c ἀκούσας δὲ ταῦτα ὁ χίλεος. d οἱ δὲ ἐν φρενί.

maximae inter peregrinos potentiae, ſciſcitabatur ex uno Ephororum omnia quae Athenienſes dixiſſent; et quum audiviſſet, his verbis eos alloquutus eſt, ‘ Ergo ‘ ita ſe res habet, viri Ephorì: ſi Athe‘ nienſes non ſentiunt nobiſcum, ſed cum ‘ barbaro ſocietatem iniverint, quamvis ‘ valido muro ſit Iſthmus inaedificatus, ‘ tamen magnae fores patefactae ſunt ‘ Perſis in Peloponneſum. Quare prius ‘ eos audiatis, quam aliquid decernant ‘ quod cladem Graeciae adferat.’

10. Hoc Chileus conſilium dedit. quod in animum admittentes Ephori, confeſtim nihil colloquuti cum nunciis qui a civitatibus venerant, quinque millia Spartiatarum quum adhuc nox eſſet emittunt, ſeptenis helotis circa unumquemque collocatis Pauſania Cleombroti filio juſſo eos educere. erat quidem praefectura Pliſtarchi Leonida geniti: ſed adhuc is puer

erat, alter ejus tutor et patruelis. nam Cleombrotus Anaxandridae filius, pater Pausaniae, jam non supererat, non diu pòst quàm copias quae murum extruebant in Isthmo, reduxerat, vita functus. Reduxerat autem ab Isthmo copias Cleombrotus ob eam caussam, quod sibi inter sacrificandum adversus Persam sol in coelo obscuratus esset. Adscivit autem Pausanias sibi Euryanactem, Doriei filium, suum gentilem.

11. His copiis e Sparta cum Pausania profectis, nuncii de illarum profectione ignari, ubi dies illuxit, Ephoros adeunt, habentes scilicet in animo abire in suam quique civitatem. Ubi adierunt, ita verba fecere, 'Vos quidem, Lacedaemonii, desidentes hîc Hyacinthia agitis, ac luditis, 'sociis foede proditis: Athenienses vero, 'ut a vobis laesi, et ob penuriam socio-

ἀνεψιός. Κλεόμβροτος γὰρ ὁ Παυσανίεω μὲν πατὴρ, Αναξανδρίδεω δὲ παῖς, οὐκέτι περιῆν, ἀλλὰ ἀπαγαγὼν ἐκ τοῦ Ἰσθμοῦ τὴν στρατιὴν τὴν τὸ τεῖχος δείμασαν, μετὰ ταῦτα οὐ πολλὸν χρόνον τινὰ βιοὺς ἀπέθανε. ἀπῆγε δὲ τὴν στρατιὴν ὁ Κλεόμβροτος ἐκ τοῦ Ἰσθμοῦ διὰ τόδε· θυομένῳ οἱ ἐπὶ τῷ Πέρσῃ, ὁ ἥλιος ἀμαυρώθη ἐν τῷ οὐρανῷ. προσαιρέεται δὲ ἑωϋτῷ Παυσανίης Εὐρυάνακτα τὸν Δωριέος, ἄνδρα οἰκίης ἐόντα τῆς αὐτῆς. οἱ μὲν δὴ σὺν Παυσανίῃ ἐξεληλύθησαν ἔξω Σπάρτης.

ια΄. Οἱ δὲ ἄγγελοι, ὡς ἡμέρη ἐγεγόνεε, οὐδὲν εἰδότες περὶ τῆς ἐξόδου, ἐπῆλθον ἐπὶ τοὺς ἐφόρους, ἐν νόῳ δὴ ἔχοντες ἀπαλλάσσεσθαι καὶ αὐτοὶ ἐπὶ τῆς[c] ἑωϋτοῦ ἕκαστος· ἐπελθόντες δὲ, ἔλεγον τάδε, ‘ Ὑμεῖς ‘ μὲν ὦ Λακεδαιμόνιοι αὐτοῦ τῆδε μένοντες, ‘ Ὑακίνθιά τε ἄγετε καὶ παίζετε, κατα- ‘ προδόντες τοὺς συμμάχους· Αθηναῖοι δὲ, ‘ ὡς ἀδικεόμενοι ὑπὸ ὑμέων, χήτεϊ τε

[c] ἐπὶ τὴν MS.

‘ συμμάχων, καταλύσονται τῷ Πέρσῃ
‘ οὕτω ὅκως ἂν δύνωνται. καταλυσάμενοι
‘ δὲ, δῆλα γὰρ δὴ ὅτι σύμμαχοι βασι-
‘ λῆος γινόμεθα, συστρατευσόμεθα ἐπὶ
‘ τὴν ἂν ἐκεῖνοι ἐξηγέωνται· ὑμεῖς δὲ τὸ
‘ ἐνθεῦτεν μαθήσεσθε ὁκοῖον ἄν τι ὑμῖν
‘ ἐξ αὐτοῦ ἐκβαίνῃ.’ ταῦτα λεγόντων τῶν ἀγγέλων, οἱ ἔφοροι εἶπαν ἐπ’ ὅρκου, καὶ δὴ δοκέειν εἶναι ἐν Ορεστείῳ στείχοντας ἐπὶ τοὺς ξείνους. ξείνους γὰρ ἐκάλεον τοὺς βαρβάρους. οἱ δὲ, ὡς οὐκ εἰδότες, ἐπηρώτεον τὸ λεγόμενον· ἐπειρόμενοι δὲ, ἐξέμαθον πᾶν τὸ ἐόν· ὥστε ἐν θώϋματι γενόμενοι, ἐπορεύοντο τὴν ταχίστην διώκοντες. σὺν δέ σφι, τῶν περιοίκων Λακεδαιμονίων λογάδες πεντακισχίλιοι ὁπλῖται τὠυτὸ τοῦτο ἐποίεον.

ιβʹ. Οἱ μὲν δὴ ἐς τὸν Ισθμὸν ἠπείγοντο. Αργεῖοι δὲ, ἐπεί τε τάχιστα ἐπύθοντο τοὺς μετὰ Παυσανίεω ἐξεληλυθότας ἐκ Σπάρτης, πέμπουσι κήρυκα, τῶν

'rum, ita ut poterunt inimicitias cum 'Persa dissolvent. Dissoluta autem inimicitia palam prorsus, quum regis fuerimus socii militiae, commilitabimus in 'quamcunque regionem nos illi educent. 'Inde vos discetis quidnam vobis ex ea 're eveniat.' Haec loquutis nunciis Ephori jurejurando interposito dixere suas se copias putare in Orestio esse, tendentes adversum peregrinos. Peregrinos enim barbaros appellabant. Hoc illi non intelligentes, quid diceretur sciscitabantur. Sciscitati, et rem omnem edocti atque stupefacti, quamcelerrime abiere ad illos insequendos, et cum iis quinque millia finitimorum Lacedaemoniorum delecta.

12. His Isthmum versus ire maturantibus, Argivi, ubi primum audiere copias e Sparta cum Pausania profectas, praeconem, quem optimum e diurnis cur-

ſoribus invenerunt, in Atticam mittunt ad Mardonium: qui videlicet antea receperant ſe futuros impedimento, quominus Spartiata egrederetur. Praeco ubi Athenas pervenit, ‘ Mardoni, inquit, miſerunt ‘ me Argivi nunciatum tibi juventutem e ‘ Lacedaemone eſſe progreſſam, ſeque ne ‘ illa progrederetur praeſtare nequiſſe.’ Ad haec tu bonum conſilium adhibe. Hoc ille loquutus, retro abſceſſit.

13. Quo audito Mardonius jam non cenſebat amplius perſtare in Attica: ubi ideo antequam iſtud intelligeret, immoratus fuerat quod cuperet ſcire conſilia Athenienſium et quid acturi eſſent, neque populans neque laedens Atticum agrum, aſſidue ſperans fore ut ſecum illi paciſcerentur. Quod ubi deſperavit, re comperta, priuſquam Pauſanias cum copiis Iſthmum egrederetur, ſubduxit exer-

ἡμεροδρόμων ἀνευρόντες τὸν ἄριςον, ἐς τὴν Ἀτλικὴν, πρότερον αὐτοὶ Μαρδονίῳ ὑποδεξάμενοι σχήσειν τὸν Σπαρτιήτην μὴ ἐξιέναι. ὃς ἐπεί τε ἀπίκετο ἐς τὰς Ἀθήνας, ἔλεγε τάδε, ‘ Μαρδόνιε, ἔπεμψάν ‘ με Ἀργεῖοι φράσονλά τοι ὅτι ἐκ Λακε- ‘ δαίμονος ἐξελήλυθε ἡ νεότης, καὶ ὡς ὠ ‘ δυνατοὶ αὐτὴν ἔχειν εἰσὶ Ἀργεῖοι μὴ ‘ ὠκ ἐξιέναι.’ πρὸς ταῦτα τύγχανε εὖ βωλευόμενος. ὁ μὲν δὴ, εἴπας ταῦτα, ἀπαλλάσετο ὀπίσω.

ιγ'. Μαρδόνιος δὲ ὠδαμῶς ἔτι πρόθυμος ἦν μένειν ἐν τῇ Ἀττικῇ, ὡς ἤκωσε ταῦτα. πρὶν μέν νυν ἢ πυθέσθαι [f], ἀνεκώχευε, θέλων εἰδέναι τὸ παρ' Ἀθηναίων, ὁκοῖόν τι ποιήσωσι· καὶ ὤτε ἐπήμαινε ὤτε ἐσίνετο γῆν τὴν Ἀτλικὴν, ἐλπίζων διὰ παντὸς τῶ χρόνω ὁμολογήσειν σφέας· ἐπεὶ δὲ ὠκ ἔπειθε, πυθόμενος τὸν πάντα λόγον, πρὶν ἢ τὼς μετὰ Παυσανίεω ἐς τὸν Ισθμὸν ἐμβαλεῖν, ὑπεξεχώρεε· ἐμ-

[f] μέν νυν πυθέσθαι.

πρήσας τε τὰς Ἀθήνας, καὶ εἴ κȣ τι ὀρθὸν ἦν τῶν τειχέων ἢ τῶν οἰκημάτων, ἢ τῶν ἱρῶν, πάντα καταβαλὼν καὶ συγχώσας, ἐξέλαυνε τῶνδε εἵνεκα· ὅτι ȣ̓́τε ἱππασίμη ἡ χώρη ἦν ἡ Ἀττικὴ, εἴτε νικῷτο συμβαλὼν, ἀπάλλαξις ȣ̓κ ἦν, ὅτι μὴ κατὰ στεινὸν, ὥστε καὶ [g] ὀλίγȣς σφέας ἀνθρώπȣς ἴσχειν. ἐβȣλεύετο ὦν, ἐπαναχωρήσας ἐς τὰς Θήβας, συμβαλεῖν πρὸς πόλι τε φιλίῃ, καὶ χώρῃ ἱππασίμῃ.

ιδ'. Μαρδόνιος μὲν δὴ ȣ̔́τω [h] ὑπεξεχώρεε. ἤδη δὲ ἐν τῇ ὁδῷ ἐόντι αὐτῷ ἦλθε ἀγγελίη πρόδρομος, ἄλλην στρατιὴν ἥκειν ἐς Μέγαρα, Λακεδαιμονίων χιλίȣς. πυθόμενος δὲ ταῦτα, ἐβȣλεύετο, θέλων, εἴκως τȣ́τȣς πρῶτον ἕλοι. ὑποστρέψας δὲ τὴν στρατιὴν ἦγε ἐπὶ τὰ Μέγαρα· ἡ δὲ ἵππος προσελθȣ̃σα κατιππάσατο χώρην τὴν Μεγαρίδα. ἐς ταύτην δὴ ἑκαστάτω τῆς Εὐρώπης τὸ πρὸς ἡλίȣ δύνοντος ἡ Περσικὴ αὕτη στρατιὴ ἀπίκετο.

g Haec vocula καὶ non eſt in MS. h Etiam haec vox ȣ̔́τω non eſt in MS.

citum, incenſis Athenis, et ſiquid aut murorum aut aedium aut templorum rectum extabat, eo omni diruto atque obruto. Ideo autem excedendum ſibi putavit, quod neque equitabilis eſſet Attica regio, neque, ſi ipſe male pugnaſſet, evadi poterat niſi per anguſtias, ubi a paucis hominibus tranſitu prohiberi poſſet. Statuit igitur recedere illinc Thebas, ut confligeret prope civitatem amicam, ac regionem equitibus opportunam.

14. Profecto illinc ita Mardonio et jam iter facienti perfertur nuncius properans, alium exercitum mille Lacedaemoniorum Megara iter habere. Eo audito conſultabat ſiquo pacto hos primum poſſet excipere. Itaque converſum exercitum ducebat Megàra, praemiſſo equitatu qui oram Megaridem incurſaret. Huc uſque Europae ad ſolem occidentem verſus longiſſime proceſſit haec Perſica expeditio.

15. Poſt haec nuncius ad Mardonium venit, Graecos in Iſthmo frequentes coactos eſſe: atque ita retroceſſit per Deceleam. Magiſtratus enim Boeotorum accolas Aſopiorum arceſſierant, qui Mardonium in Sphendaleas et illinc in Tanagram duces itineris deduxerunt. In Tanagra noctem moratus Mardonius, poſtero die ad Scolon converſus in agro Thebano erat. Ibi Thebanorum rura, tametſi Medicas partes foventium, vaſtavit; non illorum odio, ſed ingenti neceſſitate adactus: quod vellet munimentum caſtris apponere, et ſi ſibi in acie non cederet ex ſententia, effugium comparare. Exporrexit autem caſtra ſua ab Erythraeis, ſecundum Hyſias, Plataeenſi tenus agro, juxta flumen Aſopum: muro communiens, ſed non pro magnitudine caſtrorum, verum per ſingulas frontes dena

ιε'. Μετὰ δὲ ταῦτα, Μαρδονίῳ ἧκε [a] ἀγγελίη ὡς ἀλέες εἴησαν οἱ Ἕλληνες ἐν τῷ Ἰσθμῷ. οὕτω δὴ ὀπίσω ἐπορεύετο διὰ Δεκελείης. οἱ γὰρ βοιωτάρχαι μετεπέμψαντο τοὺς προσχώρους τῶν Ἀσωπίων. οὗτοι δὲ αὐτῷ τὴν ὁδὸν ἡγέοντο ἐς Σφενδαλέας· ἐνθεῦτεν δὲ, ἐς Τάναγραν. ἐν Τανάγρῃ δὲ νύκτα ἐναυλισάμενος, καὶ τραπόμενος τῇ ὑστεραίῃ ἐς Κῶλον, ἐν γῇ τῇ Θηβαίων ἦν. ἐνθαῦτα δὲ τῶν Θηβαίων, καίπερ μηδιζόντων, ἔκειρε τοὺς χώρους, οὔτι κατὰ ἔχθος αὐτέων, ἀλλ' ὑπ' ἀναγκαίης μεγάλης ἐχόμενος· βουλόμενος ἔρυμά τε τῷ στρατοπέδῳ ποιήσασθαι, καὶ ἢν συμβαλόντι οἱ μὴ ἐκβαίνῃ ὁκοῖον τι ἐθέλοι [b], κρησφύγετον τοῦτο ἐποιέετο. παρῆκε δὲ αὐτοῦ τὸ στρατόπεδον, ἀρξάμενον ἀπὸ Ἐρυθραίων παρὰ Ὑσιάς. κατέτεινε δὲ ἐς τὴν Πλαταιΐδα γῆν, περὶ τὸν Ἀσωπὸν ποταμὸν τεταγμένον. οὐ μέντοι τόγε τεῖχος τοσοῦτον ἐποιέετο, ἀλλ' ὡς ἐπὶ δέκα σταδίους μάλιστά

[a] MS. ἦλθε. [b] ἐθέλῃ.

κη μέτωπον ἕκαςον. ἐχόντων δὲ τὸν πόνον τῦτον τῶν βαρβάρων, Ατταγῖνος ὁ Φρύνωνος, ἀνὴρ Θηβαῖος, παρασκευασάμενος μεγάλως, ἐκάλεε ἐπὶ ξείνια αὐτόν τε Μαρδόνιον ϗ πεντήκοντα Περσέων τῦς λογιμωτάτυς· κληθέντες δὲ ὗτοι ἕποντο. ἦν δὲ τὸ δεῖπνον ποιεύμενον ἐν Θήβησι.

ις΄. Τάδε ἤδη τὰ ἐπίλοιπα ἤκυον Θερσάνδρυ, ἀνδρὸς μὲν Ορχομενίυ, λογίμυ δὲ ἐς τὰ πρῶτα ἐν Ορχομενῷ. ἔφη δὲ ὁ Θέρσανδρος κληθῆναι ϗ αὐτὸς ὑπὸ Ατταγίνυ ἐπὶ τὸ δεῖπνον τῦτο· κληθῆναι δὲ ϗ Θηβαίων ἄνδρας πεντήκοντα, καί σφεων ὐ χωρὶς ἑκατέρυς κλίναι, ἀλλὰ Πέρσην τε ϗ Θηβαῖον ἐν κλίνῃ ἑκάςῃ. ὡς δὲ ἀπὸ δείπνυ ἔσαν, διαπινόντων, τὸν Πέρσην τὸν ὁμόκλινον, Ἑλλάδα γλῶσσαν ἱέντα, εἴρεσθαι αὐτὸν ὁποδαπός ἐςι, αὐτὸς δὲ ὑποκρίνασθαι ὡς εἴη Ορχομένιος. τὸν δὲ εἶπαι, ‘ Επεὶ νῦν ὁμοτράπεζός τέ μοι ‘ καὶ ὁμόσπονδος ἐγένεο, μνημόσυνά τοι

ſtadia habente. Hoc in opere barbaris occupatis Attaginus Phrynonis filius, vir Thebanus, convivio magnifice apparato Mardonium ipſum et Perſarum honoratiſſimos quinquaginta ad hoſpitales epulas invitavit. invitati illi hominem ſunt ſequuti. fiebat autem coena Thebis:

16. Cetera quae referam, ex Therſandro accepi, viro quidem Orchomenio, ſed Orchomeni inter primos honeſto: qui ſe quoque ajebat ad hanc coenam ab Attagino fuiſſe invitatum cum quinquaginta Thebanis: nec utroſque ſeorſum diſcubuiſſe, ſed in quovis lecto Perſam et Thebanum. Poſt coenam quum potioni daretur opera, Perſam qui eodem toro recumbebat, Graece ipſum interrogaſſe cujas eſſet; ſe vero reſpondiſſe Orchomenium eſſe: tum illum dixiſſe, ‘ Quoniam ‘ tu mihi menſae conſors et libaminum

'effectus es, volo tibi relinquere senten-
'tiae meae monumenta, ut ipse quoque
'praescius hujus rei, queas tibi consulere.
'Cernis hos Persas in convivium accep-
'tos, et copias quae ad flumen in castris
'relictae sunt? horum omnium parvo post
'tempore pauculos cernes superstites.'
Et inter dicendum multas lacrymas Persam effudisse. Admiratumque se eam orationem, ad illum dixisse, 'Nonne haec
'Mardonio expedit dicere, et iis Persis
'qui secundum eum in honore sunt?' Et
illum post haec subjecisse, 'Hospes, quic-
'quid ex deo fieri oportet, id ab homine
'nulla ratione averti potest. nam ne cre-
'dibilia quidem dicentibus credere quis-
'quam vult. Atque haec permulti Per-
'sarum quum sciamus, tamen sequimur
'illigati necessitate. Est autem moeror
'hic in hominibus acerbissimus, eum qui
'multum sapit nullius rei potentem esse.'

‘ γνώμης τῆς ἐμῆς καταλιπέσθαι θέλω·
‘ ἵνα καὶ προειδὼς αὐτὸς περὶ σεωϋτȢ βȢ-
‘ λεύεσθαι ἔχῃς τὰ συμφέροντα. ὁρᾷς
‘ τȢ́τȢς τȢ̀ς δαινυμένȢς Πέρσας, καὶ τὸν
‘ ϛρατὸν τὸν ἐλίπομεν ἐπὶ τῷ ποταμῷ
‘ ϛρατοπεδευόμενον; τȢτέων πάντων ὄ-
‘ ψεαι, ὀλίγȢ τινὸς χρόνȢ διελθόντος, ὀλί-
‘ γȢς τινὰς τοὺς περιγενομένȢς.’ ταῦτα
ἅμα τε τὸν Πέρσην λέγειν, καὶ μετιέναι
πολλὰ τῶν δακρύων. αὐτὸς δὲ θωϋμάσας
τὸν λόγον, εἶπαι πρὸς αὐτὸν, ‘ Οὐκῶν
‘ Μαρδονίῳ τε ταῦτα χρεὼν ἐϛι λέ-
‘ γειν, καὶ τοῖσι μετ᾽ ἐκεῖνον ἐν αἴνῃ ἐȢ̃σι
‘ Περσέων.’ τὸν δὲ μετὰ ταῦτα εἶπαι,
‘ Ξεῖνε, ὅ,τι δεῖ γενέσθαι ἐκ τοῦ θεȢ̃,
‘ ἀμήχανον ἀποτρέψαι ἀνθρώπῳ· οὐδὲ
‘ γὰρ πιϛὰ λέγȢσι ἐθέλει πείθεσθαι ȣ̓δείς.
‘ ταῦτα δὲ Περσέων συχνοὶ ἐπιϛάμενοι,
‘ ἑπόμεθα ἀναγκαίῃ ἐνδεδεμένοι. ἐχθίϛη
‘ δὲ ὀδύνη ἐϛὶ τῶν ἐν ἀνθρώποισι αὕτη,
‘ πολλὰ φρονέοντα, μηδενὸς κρατέειν.’

ταῦτα μὲν τοῦ Ορχομενίȣ Θερσάνδρȣ ἤκȣον· καὶ τάδε πρὸς τȣ́τοισι, ὡς αὐτὸς αὐτίκα λέγει ταῦτα πρὸς ἀνθρώπους πρότερον ἢ γενέσθαι ἐν Πλαταιῇσι τὴν μάχην.

ιζʹ. Μαρδονίȣ δὲ ἐν τῇ Βοιωτίῃ ϛρατοπεδευομένȣ, οἱ μὲν ἄλλοι παρείχοντο ἅπαντες ϛρατιὴν, καὶ συνεσέβαλον ἐς Ἀθήνας, ὅσοιπερ ἐμήδιζον Ἑλλήνων τῶν ταύτῃ οἰκημένων· μȣ̃νοι δὲ Φωκέες ȣ̓ συνεσέβαλον. ἐμήδιζον γὰρ δὴ σφόδρα[c] καὶ ȣ̃τοι, ȣ̓κ ἑκόντες, ἀλλ' ὑπ' ἀναγκαίης. ἡμέρῃσι δὲ ȣ̓ πολλῇσι μετὰ τὴν ἄπιξιν τὴν ἐς Θήβας ὕϛερον, ἦλθον αὐτέων ὁπλῖται χίλιοι. ἦγε δὲ αὐτȣ̀ς Ἁρμοκύδης, ἀνὴρ τῶν ἀϛῶν δοκιμώτατος[d]. ἐπεὶ δὲ ἀπικέατο καὶ ȣ̃τοι ἐς Θήβας, πέμψας ὁ Μαρδόνιος ἱππέας, ἐκέλευσέ σφεας ἐπ' ἑωϋτῶν[e] ἐν τῷ πεδίῳ ἵζεσθαι. ἐπεὶ δὲ ἐποίησαν ταῦτα, αὐτίκα παρῆν ἡ ἵππος ἅπασα. μετὰ δὲ ταῦτα, διεξῆλθε

[c] γὰρ μεγάλως. [d] MS. δυνατώτατος. [e] ἀπ' ἑαυτῶν.

Haec ego ex Orchomenio Therſandro audiebam, atque iſta inſuper, ipſum haec ſtatim per homines ſparſiſſe, priuſquam proelium ad Plataeas factum eſt.

17. Porro Mardonio in Boeotia ſtativa habenti, praebuerunt copias alii quidem omnes, et ſimul invaſerunt Athenas, quotquot cum Medis ſentiebant, ex Graecis illic habitantibus; ſoli hujus irruptionis non fuere participes Phocenſes. nam et iſti vehementer Medis ſtudebant, non tamen voluntarii, ſed coacti. Sed iidem non multis poſt diebus quam Thebas itum eſt, et ipſi advenere, mille armati, duce Harmocyde inter populares ſpectatiſſimo. Eos Mardonius, ubi Thebas pervenere, miſſis equitibus juſſit ſeorſum in campo ſubſidere: quod quum feciſſent, protinus adfuit univerſus equitatus. Unde

postea rumor exercitum Graecorum qui cum Medis erant, pervasit, Phocenses ab equitatu jaculis confossum iri. quinetiam per ipsos Phocenses idem divulgatum est. quos tunc dux suus Harmocydes his verbis adhortabatur, 'O Phocenses, palam 'est hos homines certae nos neci desti'nasse, accusatos (ut suspicor) a Thessa'lis. Quare unumquemque vestrûm jam 'oportet egregium virum esse. Praestat 'enim facientes aliquid et defendentes 'finire vitam, quam dedentes nos foe'dissima morte trucidari. Sed et discat 'eorum aliquis illos barbaros Graecis 'hominibus mortem machinatos fuisse.'

18. His suos Harmocydes hortabatur. Quos ubi conclusere equites, invehebant tanquam ad eos occidendos; et sane tela intendebant, veluti emissuri: et forsan aliquis emisit. Phocenses ex ad-

μὲν διὰ τᾶ στρατοπέδε τᾶ Ἑλληνικᾶ τᾶ μετὰ Μήδων ἐόντος φήμη ὡς κατακοντιεῖ σφεας· διεξῆλθε δὲ δι᾽ αὐτέων Φωκέων τὠὐτὸ τᾶτο. ἔνθα δή σφι ὁ στρατηγὸς Ἁρμοκύδης παραίνεε, λέγων τοιάδε, 'Ὦ Φωκέες, πρόδηλα γὰρ ὅτι ἡμέας 'ᾶτοι οἱ ἄνθρωποι μέλλεσι προύπτῳ θα- 'νάτῳ δώσειν, διαβεβλημένες ὑπὸ Θεσ- 'σαλῶν, ὡς ἐγὼ εἰκάζω. νῦν ὦν ἄνδρα 'τινὰ πάντα ὑμέων χρεὼν ἐστι γενέσθαι 'ἀγαθόν. κρέσσον γὰρ, ποιεῦντάς τι καὶ 'ἀμυνομένες τελευτῆσαι τὸν αἰῶνα, ἤ- 'περ παρέχοντας διαφθαρῆναι αἴχιστῳ 'μόρῳ. ἀλλὰ μαθέτω τις αὐτέων ὅτι 'ἐόντες βάρβαροι ἐπ᾽ Ἕλλησι ἀνδράσι 'φόνον ἔρραψαν.'

ιη'. Ὁ μὲν ταῦτα παραίνεε. οἱ δὲ ἱππέες, ἐπεί σφεας ἐκυκλώσαντο, ἐπήλαυνον ὡς ἀπολέοντες, καὶ δὴ διετείνοντο τὰ βέλεα ὡς ἀπήσοντες· καί κε τις καὶ ἀπῆκε. καὶ οἳ ἀντίοι ἔστασαν, πάντη

ςρέψαντες[f] ἑωϋτὲς, καὶ πυκνώσαντες ὡς μάλιςα. ἐνθαῦτα οἱ ἱππόται ὑπέςρεφον, καὶ ἀπήλαυνον ὀπίσω. ὐκ ἔχω δ' ἀτρεκέως εἶπαι ὔτε εἰ ἦλθον μὲν ἀπολέοντες τὐς Φωκέας, δεηθέντων Θεσσαλῶν· ἐπεὶ δὲ ὥρων πρὸς ἀλέξησιν τραπομένυς, δείσαντες μὴ καί σφισι γένηται τρώματα, οὕτω δὴ ἀπήλαυνων ὀπίσω, ὡς γάρ σφι ἐνετείλατο Μαρδόνιος· ὔτ' εἰ αὐτέων πειρηθῆναι ἠθέλησε εἴ τι ἀλκῆς μετέχυσι. ὡς δὲ ὀπίσω ἀπήλασαν οἱ ἱππόται, πέμψας Μαρδόνιος κήρυκα, ἔλεγε τάδε, ‘ Θαρσέετε ὦ Φωκέες· ἄνδρες γὰρ ἐφάνητε ἐόντες ἀγαθοὶ, ὐκ ὡς ἐγὼ ἐπυνθανόμην. καὶ νῦν προθύμως φέρετε τὸν πόλεμον τῦτον· εὐεργεσίῃσι γὰρ ὐ νικήσετε ὔτε ὦν ἐμὲ[g], ὔτε βασιλῆα.’ τὰ περὶ Φωκέων μὲν ἐς τοσῦτον ἐγένετο.

ιθ'. Λακεδαιμόνιοι δὲ, ὡς ἐς τὸν Ισθμὸν ἦλθον, ἐν τύτῳ ἐςρατοπεδεύοντο.

[f] συςρέψαντες. [g] ὔτε ἐμέ.

verſo ſtantes et undiquaque ſe vertentes et quammaxime condenſati quum ſeſe opponerent, ibi equites digreſſi retro abiere. Affirmare autem pro certo nequeo, an ad hos interficiendos rogatu Theſſalorum ierint; et poſteaquam animadverterunt eos ad defendendum ſe convertere, veriti ne ſibi quoque vulnera inferrentur, ita retro abſceſſerint, tanquam a Mardonio juſſi: an experiri voluerit num quid iſti roboris haberent. Poſt abſceſſum autem equitatus, miſſo ad eos praecone, Mardonius ita inquit, 'Bono eſtote Phocenſes 'animo: viros enim ſtrenuos vos eſſe de-'diſtis ſpecimen, non tales quales ego 'audieram. Quo magis alacri animo to-'lerate hoc bellum. non enim aut me 'beneficiis aut regem vincetis.' Hactenus quae circa Phocenſes ſunt geſta.

19. Lacedaemonii ubi ad Iſthmum venere, illic caſtra communiere. quod

quum audirent ceteri Peloponnenſes, quibus meliora cordi erant, alii quoque cernerent Spartiatas egreſſos, indignum putaverunt a Lacedaemoniis ſe in exeundo ſuperari. itaque quum pulchre litatum eſſet, cuncti ex Iſthmo profecti ſunt et Eleuſinem perveniunt: ubi quum factis ſacris etiam pulchra fuiſſent exta, ire perrexerunt; cumque illis Athenienſes e Salamine tranſmittentes, et in Eleuſine admixti. Iſti poſteaquam ad Erythras Boeotiae venere, cognito barbaros ad Aſopum caſtra habere, inito de hac re conſilio, e regione tetenderunt ad Cithaeronis radices.

20. In quos Mardonius, quod in campum non deſcenderent, omnem immittit equitatum, cui praeerat Maſiſtius (a Graecis Maciſius dictus) vir apud Perſas inclytus, Niſaeo equo inſidens, aureo

πυνθανόμενοι δὲ ταῦτα οἱ λοιποὶ Πελοποννήσιοι, τοῖσι τὰ ἀμείνω ἑάνδανε, οἱ δὲ ϗ ὁρέοντες ἐξιόντας Σπαρτιήτας, ὐκ ἐδικαίευν λείπεσθαι τῆς ἐξόδου Λακεδαιμονίων. ἐκ δὴ ὦν τοῦ Ισθμοῦ καλλιερησάντων τῶν ἱρῶν ἐπορεύοντο πάντες, ϗ ἀπικνέονται ἐς Ελευσῖνα· ποιήσαντες δὲ καὶ ἐνθαῦτα ἱρὰ, ὡς σφι ἐκαλλιερέετο, πρόσω ἐπορεύοντο· Αθηναῖοι δὲ ἅμα αὐτοῖσι, διαβάντες μὲν ἐκ Σαλαμῖνος, συμμιγέντες δὲ ἐν Ελευσῖνι. ὡς δὲ ἄρα ἀπίκοντο τῆς Βοιωτίης ἐς Ερυθρὰς, ἔμαθόν τε δὴ τοὺς βαρβάρους ἐπὶ τῷ Ασωπῷ στρατοπεδευομένους· Φρασθέντες δὲ τοῦτο, ἀντετάσσοντο ἐπὶ τῆς ὑπωρείης τοῦ Κιθαιρῶνος.

κ΄. Μαρδόνιος δὲ, ὡς οὐ κατέβαινον οἱ Ἕλληνες ἐς τὸ πεδίον, πέμπει ἐς αὐτοὺς[h] πᾶσαν τὴν ἵππον, τῆς ἱππάρχεε Μασίστιος, εὐδοκιμέων παρὰ Πέρσησι· (τὸν Ἕλληνες Μακίστιον καλέουσι) ἵππον ἔχων Νισαῖον χρυσοχάλινόν τε, ϗ ἄλλως κε-

h ἐπ' αὐτούς.

κοσμημένον καλῶς. ἐνθαῦτα ὡς προσήλασαν οἱ ἱππόται πρὸς τοὺς Ἕλληνας, προσέβαλλον κατὰ τέλεα· προσβαλόντες δὲ, κακὰ μεγάλα ἐργάζοντο, καὶ γυναῖκάς σφεας ἀπεκάλεον.

κα'. Κατὰ συντυχίην δὲ Μεγαρέες ἔτυχον ταχθέντες ᾗ τὸ ἐπιμαχώτατον ἦν τοῦ χωρίου παντὸς, καὶ πρόσοδος μάλιστα ταύτῃ ἐγίνετο τῇ ἵππῳ. προσβαλούσης ὦν τῆς ἵππου, οἱ Μεγαρέες πιεζόμενοι ἔπεμπον ἐπὶ τοὺς στρατηγοὺς τῶν Ἑλλήνων κήρυκα. ἀπικόμενος δὲ ὁ κῆρυξ πρὸς αὐτοὺς ἔλεγε τάδε, ‘ Μεγαρέες λέγουσι, ‘Ἡ-
‘ μεῖς, ἄνδρες σύμμαχοι, οὐ δυνατοί εἰμεν
‘ τὴν Περσέων ἵππον δέκεσθαι, μοῦνοι ἔ-
‘ χοντες στάσιν ταύτην ἐς τὴν ἔστημεν ἀρ-
‘ χήν· ἀλλὰ καὶ ἐς τόδε λιπαρίῃ τε καὶ
‘ ἀρετῇ ἀντέχομεν, καίπερ πιεζόμενοι.
‘ νῦν τε, εἰ μή τινας ἄλλους πέμψετε δια-
‘ δόχους τῆς τάξιος, ἴστε ἡμέας ἐκλείψον-
‘ τας τὴν τάξιν.’ ὁ μὲν δή σφι ταῦτα

freno et aliis insignibus eximie ornato. Equites ubi appropinquarunt Graecis, per turmas aggressi, multum detrimenti inferebant, et feminas eos appellabant.

21. Erant forte Megarenses ea parte collocati, qua nulla alia magis oppugnari nullaque magis ab equitatu adiri poterat: hâc, impressione facta equitum, Megarenses quia premebantur, mittunt ad duces Graecorum praeconem, qui ita, quum venit, verba fecit, 'Megarenses ajunt, viri 'socii, Nos excipiendo hostium equitatui 'impares sumus, qui soli tenemus hanc 'in qua collocati sumus omnino statio'nem: ubi hactenus tametsi pressi, tamen 'strenue fortiterque resistimus. nunc 'nisi alios nobis substituatis, qui excipi'ant pugnam, scitote nos ab acie discess'uros.' Haec ubi praeco nunciavit, Pau-

ſanias experiri fecit Graecos, ſiqui alii ultro ad locum irent, ut Megarenſibus ſuccederent. Recuſantibus ceteris, Athenienſes ſuſcepere hoc munus, videlicet eorum trecenti delecti, quibus praeerat Olympiodorus Lamponis filius.

22. Hi fuere qui ſuccederent, et prae aliis Graecis ad Erythras caſtra habentibus in aciem compoſiti fuerunt, ſagittariis aſſumptis. qui quum aliquamdiu pugnaſſent, hic fuit pugnae exitus: Impreſſionem faciente per turmas equitatu, equus Maſiſtii, ut erat prae aliis eminens, ſagittâ latera ictus eſt: quo dolore in pedes erectus, Maſiſtium excuſſit. Collapſum confeſtim Athenienſes urgent: et tum equum prehendunt, tum hominem ſeſe defenſantem interimunt, quum aliquamdiu non

ἀπήγγειλε. Παυσανίης δὲ ἀπεπειρᾶτο τῶν Ἑλλήνων, εἴ τινες ἐθέλοιεν ἄλλοι ἐθελονταὶ ἰέναι τε ἐς τὸν χῶρον τοῦτον καὶ τάσσεσθαι διάδοχοι Μεγαρεῦσι. οὐ βουλομένων δὲ τῶν ἄλλων, Ἀθηναῖοι ὑπεδέξαντο, καὶ Ἀθηναίων οἱ τριηκόσιοι λογάδες, τῶν ἐλοχήγεε Ὀλυμπιόδωρος ὁ Λάμπωνος.

κβ΄. Οὗτοι ἔσαν οἵ τε ὑποδεξάμενοι, καὶ οἱ πρὸ τῶν ἄλλων τῶν παρεόντων Ἑλλήνων ἐς Ἐρυθρὰς ταχθέντες, τοὺς τοξότας προσελόμενοι. μαχομένων δέ σφεων ἐπὶ χρόνον, τέλος τοιόνδε ἐγένετο ἐπὶ τῆς μάχης* προσβαλλούσης τῆς ἵππου κατὰ τέλεα, ὁ Μασιστίου προέχων τῶν ἄλλων ἵππος βάλλεται τοξεύματι τὰ πλευρά· ἀλγήσας δὲ, ἵσταται ὀρθὸς, καὶ ἀποσείεται τὸν Μασίστιον. πεσόντι δὲ αὐτῷ οἱ Ἀθηναῖοι αὐτίκα ἐπεκέατο· τὸν δὲ ἵππον αὐτοῦ λαμβάνουσι, καὶ αὐτὸν ἀμυνόμενον κτείνουσι, κατ᾽ ἀρχὰς οὐ δυ-

* ἐγίνετο τῆς μάχης.

νάμενοι. ἐνεσκεύαστο γὰρ ὅτω· ἐντὸς θώρηκα εἶχε χρύσεον λεπιδωτόν· κατύπερθε δὲ τῶ θώρηκος, κιθῶνα φοινίκεον ἐνεδεδύκεε. τύπτοντες δὲ ἐς τὸν θώρηκα αὐτῶ[b], ἐποίευν ὐδέν· πρίν γε δὴ μαθών τις τὸ ποιεύμενον, παίει μιν ἐς τὸν ὀφθαλμόν· ὅτω δὴ ἔπεσέ τε καὶ ἀπέθανε· ταῦτα δέ κως γινόμενα ἐλελήθεε τοὺς ἄλλως ἱππέας. ὔτε γὰρ πεσόντα μιν εἶδον ἀπὸ τῶ ἵππω, ὔτε ἀποθνήσκοντα. ἀναχωρήσιός τε γινομένης καὶ ὑποστροφῆς, ὐκ ἔμαθον τὸ γινόμενον· ἐπεί τε δὲ ἔστησαν, αὐτίκα ἐπόθεσαν, ὥς σφεας οὐδεὶς ἦν ὁ τάσσων. μαθόντες δὲ τὸ γεγονὸς, διακελευσάμενοι, ἤλαυνον τὺς ἵππυς πάντες, ὡς ἂν τὸν νεκρὸν ἀνελοίατο.

κγ΄. Ἰδόντες δὲ οἱ Ἀθηναῖοι ὐκέτι κατὰ τέλεα προσελαύνοντας τὺς ἱππέας, ἀλλὰ πάντας, τὴν ἄλλην στρατιὴν ἐπεβώσαντο. ἐν ᾧ δὲ ὁ πεζὸς ἅπας ἐπεβοήθεε, ἐν τύτῳ μάχη ὀξεῖα περὶ τῶ νεκρῶ γίνεται. ἕως

b Vox αὐτῶ abest a MS.

potuiſſent. Ita enim erat armatus: ſcilicet intus gerebat thoracem aureis ſquamis conſertum, deſuper purpuream tunicam. Ejus thoracem quum ferirent, non prius aliquid profecerunt, quam quidam re animadverſa illum percuſſit in oculo. Ita Maſiſtius collapſus interiit. Haec autem res latebat alios equites. non enim eum aut ab equo cadentem viderant aut occumbentem. et quum in praelio fieret nunc receſſus, nunc ſubvectio, quod actum erat non cognovere; ſed poſtquam conſtitere, quia nemo ipſis imperabat, ſtatim deſideraverunt: cognitoque quod geſtum erat, mutuo ſe adhortati, omnes in hoſtem equos admiſere, ut cadaver eriperent.

23. Eos autem conſpicati Athenienſes non jam turmatim ſed univerſos pariter irruere, ceterum exercitum inclamaverunt. Sed dum omnis peditatus auxilio veniebat, interea cietur acre proelium de

cadavere. Quamdiu igitur ſoli erant iſti trecenti, multo inferiores erant, et cadaver deſerebant: at ubi praeſidio venere copiae, non amplius perſtitere equites, neque illis contigit mortuum eripere, ſed alios ſuper illum e ſuis amiſere. Digreſſi illinc duo circiter ſtadia, conſultantes quid facto opus eſſet, decrevere ſibi carentibus praefecto eundum ad Mardonium.

24. Ubi in caſtra rediere, maximus luctus cum omnem exercitum, tum vero Mardonium cepit, extincti Maſiſtii: et ſeipſos et equos et jumenta tondentes ejulatu triſtiſſimo uſi ſunt, ita ut ejus echo omnem Boeotiam pervaſerit, utpote amiſſo viro ſecundum Mardonium honoratiſſimo tam apud Perſas quam apud regem. Et barbari quidem ſuo more Maſiſtium defunctum honorabant.

μέν νυν μȣ̃νοι ἔσαν οἱ τριηκόσιοι, ἑσȣ̃ντό τε πολλὸν, καὶ τὸν νεκρὸν ἀπέλιπον· ὡς δέ σφι τὸ πλῆθος ἐπεβοήθησε, ȣ̈τω δὴ ȣ̓κέτι οἱ ἱππόται ἐπέμενον [c], ȣ̓δέ σφι ἐξεγένετο τὸν νεκρὸν ἀνελέσθαι, ἀλλὰ πρὸς ἐκείνῳ ἄλλȣς προσαπώλεσαν τῶν ἱππέων. ἀποστήσαντες ὦν ὅσον τε δύο στάδια, ἐβȣλεύοντο ὅ,τι χρεὼν εἴη ποιέειν· ἐδόκεε δέ σφι, ἀναρχίης ἐȣ́σης, ἀπελαύνειν παρὰ Μαρδόνιον.

κδ΄. Απικομένης δὲ τῆς ἵππȣ ἐς τὸ στρατόπεδον, πένθος ἐποιήσαντο Μασιστίȣ πᾶσά τε ἡ στρατιὴ καὶ Μαρδόνιος μέγιστον· σφέας τε αὐτȣ̀ς κείροντες, καὶ τȣ̀ς ἵππȣς καὶ τὰ ὑποζύγια, οἰμωγῇ τε χρεώμενοι ἀπλέτῳ. ἅπασαν γὰρ τὴν Βοιωτίην κατεῖχε ἠχὼ, ὡς ἀνδρὸς ἀπολομένȣ μετά γε Μαρδόνιον λογιμωτάτȣ παρά τε Πέρσῃσι καὶ βασιλέϊ. οἱ μέν νυν βάρβαροι τρόπῳ τῷ σφετέρῳ ἀποθανόντα ἐτίμων Μασίστιον.

c MS. ὑπέμενον.

κϛ΄. Οἱ δὲ Ἕλληνες, ὡς τὴν ἵππον ἐδέξαντο προσϐάλλȣσαν, καὶ δεξάμενοι ὤσαντο, ἐθάῤῥησάν τε πολλῷ μᾶλλον· καὶ πρῶτα μὲν ἐς ἅμαξαν ἐσθέντες τὸν νεκρὸν, παρὰ τὰς τάξις ἐκόμιζον· ὁ δὲ νεκρὸς ἦν θέης ἄξιος, μεγάθεος εἵνεκα, καὶ κάλλεος. τῶνδε εἵνεκα καὶ ταῦτα ἐποίεον, ἐκλείποντες τὰς τάξις ἐφοίτων[d] θεησόμενοι Μασίστιον. μετὰ δὲ, ἔδοξέ σφι ἐπικαταϐῆναι ἐς Πλαταιάς. ὁ γὰρ χῶρος ἐφαίνετο πολλῷ ἐὼν ἐπιτηδεώτερός σφι ἐνστρατοπεδεύεσθαι ὁ Πλαταϊκὸς τȣ͂ Ἐρυθραίȣ, τά τε ἄλλα, καὶ εὐυδρότερος. ἐς τȣ͂τον δὴ τὸν χῶρον, καὶ ἐπὶ τὴν κρήνην τὴν Γαργαφίην, τὴν ἐν τῷ χώρῳ τȣ́τῳ ἐȣ͂σαν, ἔδοξέ σφι χρεὼν εἶναι ἀπικέσθαι, καὶ διαταχθέντας στρατοπεδεύεσθαι. ἀναλαϐόντες δὲ τὰ ὅπλα, ἤϊσαν διὰ τῆς ὑπωρείης τοῦ Κιθαιρῶνος περὶ Ὑσιὰς ἐς τὴν Πλαταιΐδα γῆν· ἀπικόμενοι δὲ, ἐτάσσοντο κατὰ ἔθνεα, πλησίον

[d] τάξις, καὶ ἐφοίτων.

25. Graeci autem, postquam equitatum invadentem excepere, et exceptum repulere, tum multo sunt audaciores effecti, tum ante omnia cadaver plaustro impositum per ordines circumtulerunt. erat autem spectaculo digna proceritatis ac formae gratia. Idcirco etiam istud faciebant; relictis ordinibus ad intuendum Masistium pergebant. Dehinc censuerunt ad Plataeas descendendum, quod sibi Plataeensis ager multo videbatur opportunior habendis castris quam Erythraeus, cum propter alia, tum propter aquae ubertatem. Ad eum locum et ad fontem Gargaphien, qui ibidem est, decreverunt abeundum esse, et bene dispositos metari castra; et sumptis armis ierunt per radices Cithaeronis circum Hysias in agrum Plataeensem. Eo quum pervenere, ordinati sunt nationatim proxime fontem Garga-

phien, et fanum Androcratis herois, per non editos tumulos et locum planum.

26. Ibi in difponendis nationibus magna fane altercatio extitit inter Tegeatas et Athenienfes, utrofque fe dignos qui alterum cornu tenerent arbitrantes, et fua facinora praeclara tum recentia tum prifca referentes. Dicebant quidem his verbis Tegeatae, ' Hoc nos femper ' digni loco, ubi ftaremus, e fociis omni- ' bus habiti fumus, quotiefcunque a Pe- ' loponnenfibus communiter in externas ' peregrinationes itum eft, et proxime, ' et quondam, jam inde ex quo Heracli- ' dae poft mortem Euryfthei funt conati ' in Peloponnefum redire. quo tempore ' hanc dignitatem affequuti fumus ob ' hanc rem geftam. Pofteaquam cum ' Achaeis et Ionibus, qui tunc Pelopon- ' nefum incolebant, nos auxiliarii in Ifth- ' mum profecti confedimus adverfus eos ' qui redibant; tunc Hyllus orationem

τῆς τε κρήνης τῆς Γαργαφίης, καὶ τοῦ τεμένεος τοῦ Ανδροκράτεος τοῦ ἥρωος, δι' ὄχθων τε οὐκ ὑψηλῶν, καὶ ἀπέδου χωρίου.

κ'. Ενθαῦτα ἐν τῇ διατάξι ἐγένετο λόγων πολλῶν ὠθισμὸς Τεγεητέων τε καὶ Αθηναίων. ἐδικαίευν γὰρ αὐτέων ἑκάτεροι ἔχειν τὸ ἕτερον κέρας, καὶ καινὰ καὶ παλαιὰ παραφέροντες ἔργα. τοῦτο μὲν, οἱ Τεγεῆται ἔλεγον τάδε, ' Ἡμεῖς ' αἰεί κοτε ἀξιεύμεθα ταύτης τῆς στάσιος[e] ἐκ τῶν συμμάχων ἁπάντων, ὅσαι ' ἤδη ἔξοδοι κοιναὶ ἐγένοντο Πελοποννησίοισι καὶ τὸ παλαιὸν καὶ τὸ νέον, ἐξ ' ἐκείνου τοῦ χρόνου ἐπεὶ Ἡρακλεῖδαι ' ἐπειρῶντο μετὰ τὸν Εὐρυσθέος θάνατον κατιόντες ἐς Πελοπόννησον. τότε ' εὑρόμεθα τοῦτο, διὰ πρῆγμα τοιόνδε, ' ἐπεὶ μετ' Αχαιῶν καὶ Ἰώνων τῶν τότε ἐόντων ἐν Πελοποννήσῳ, ἐκβοηθήσαντες ἐς τὸν Ισθμὸν, ἱζόμεθα ἀντίοι ' τοῖσι κατιοῦσι. τότε ὦν λόγος Ὕλλον

e MS. τάξιος.

‘ ἀγορεύσασθαι, ὡς χρεὼν εἴη τὸν μὲν
‘ στρατὸν τῷ στρατῷ μὴ ἀνακινδυνεύειν
‘ συμβαλόντα· ἐκ δὲ τοῦ Πελοποννησίου
‘ στρατοπέδου, τὸν ἂν σφεων αὐτέων κρί-
‘ νωσι εἶναι ἄριστον, τοῦτόν οἱ μουνομαχῆ-
‘ σαι ἐπὶ διακειμένοισι. ἔδοξέ τε τοῖσι
‘ Πελοποννησίοισι ταῦτα εἶναι ποιητέα,
‘ καὶ ἔταμον ὅρκιον ἐπὶ λόγῳ τοιῷδε· ἢν
‘ μὲν Ὕλλος νικήσῃ τὸν Πελοποννησίων
‘ ἡγεμόνα, κατιέναι Ἡρακλείδας ἐπὶ τὰ
‘ πατρῷα· ἢν δὲ νικηθῇ, τὰ ἔμπαλιν
‘ Ἡρακλείδας ἀπαλλάσσεσθαι, καὶ ἀ-
‘ πάγειν τὴν στρατιὴν ἑκατόν τε ἐτέων
‘ μὴ ζητῆσαι κάτοδον ἐς Πελοπόννησον.
‘ προεκρίθη τε δὴ ἐκ πάντων συμμάχων
‘ ἐθελοντὴς Ἔχεμος ὁ Ἠερόπου τοῦ Φη-
‘ γέος, στρατηγός τε ἐὼν καὶ βασιλεὺς
‘ ἡμέτερος· καὶ ἐμουνομάχησέ τε καὶ ἀ-
‘ πέκτεινε Ὕλλον. ἐκ τούτου τοῦ ἔργου
‘ εὑρόμεθα ἐν τοῖσι Πελοποννησίοισι τοῖσι
‘ τότε καὶ ἄλλα γέρεα μεγάλα, τὰ δια-

' habuit, non expedire ut uterque exercitus confligendo periclitaretur: ſed ut ex Peloponnenſi exercitu quem ſuorum judicarent praeſtantiſſimum eſſe, is ſecum ſingulari certamine dimicaret conceptis legibus. Placuitque ita fieri Peloponnenſibus, et jusjurandum in haec verba dederunt; Si vinceret Hyllus Peloponnenſium ducem, ut Heraclidae in paterna reverterentur; ſin victus eſſet, retro Heraclidae cederent, et exercitum abducerent, neve per annos centum de redeundo in Peloponneſum agitarent. Ab omnibus ſociis ad eam rem voluntarius electus eſt dux atque idem rex noſter Echemus Aëropi filius, Phegei nepos, qui ſingulari congreſſus certamine Hyllum interemit. Ex quo facto nos cum alia decora magna inter ejus aetatis Peloponnenſes aſſequuti ſumus, quae adhuc obtinemus, tum hoc, ut al-

'teri cornu praeessemus quoties communiter itur in expeditionem. Et vobis quidem Lacedaemonii non adversamur, sed optionem cedentes utri cornu praeesse malitis indulgemus: alteri vero cornu ut nos praesimus, dicimus convenire, quemadmodum in anteriore tempore. Etiam vero citra hoc factum quod narratum est, Athenienfibus sumus digniores, qui hujus ordinis decus obtineamus: quippe qui prospere et multa vobiscum, viri Spartiatae, certamina decertavimus, et multa cum aliis. Quo sit ut aequius sit nos alterum cornu tenere quam Athenienses: a quibus non tales gestae res sunt quales a nobis, neque recentes neque vetustae.' Haec Tegeatae.

27. Ad quae hunc in modum responderunt Athenienses, 'Scimus quidem has copias pugnandi cum barbaro, non al-

‘ τελέομεν ἔχοντες, καὶ τȣ̃ κέρεος τȣ̃ ‘ ἑτέρȣ αἰεὶ ἡγεμονεύειν, κοινῆς ἐξόδȣ γι- ‘ νομένης. ὑμῖν μέν νυν, ὦ Λακεδαιμόνιοι, ‘ ȣ̓κ ἀντιεύμεθα, ἀλλὰ διδόντες αἵρεσιν ‘ ὁκοτέρȣ βȣ́λεσθε κέρεος ἄρχειν, παρίε- ‘ μεν· τȣ̃ δὲ ἑτέρȣ Φαμὲν ἡμέας ἱκνέε- ‘ σθαι ἡγεμονεύειν, κατάπερ ἐν τῷ πρό- ‘ σθεν χρόνῳ. χωρίς τε τȣ́τȣ τȣ̃ ἀπη- ‘ γημένȣ ἔργȣ, ἀξιονικότεροι εἰμὲν Αθη- ‘ ναίων ταύτην τὴν τάξιν ἔχειν. πολλοὶ ‘ μὲν γάρ τε καὶ εὖ ἔχοντες πρὸς ὑμέας ‘ ἡμῖν ἄνδρες Σπαρτιῆται ἀγῶνες ἀγω- ‘ νίδαται, πολλοὶ δὲ καὶ πρὸς ἄλλȣς. ‘ ȣ̔́τω ὦν ἡμέας δίκαιον ἔχειν τὸ ἕτερον ‘ κέρας, ἤπερ Αθηναίȣς. ȣ̓ γάρ σφι ἐςι ‘ ἔργα οἷάπερ ἡμῖν κατεργασμένα, ȣ̔́τ᾽ ‘ ὦν καινὰ, ȣ̔́τε παλαιά.᾽ οἱ μὲν ταῦτα ἔλεγον.

κζʹ. Αθηναῖοι δὲ πρὸς ταῦτα ὑπε- κρίναντο τάδε, ‘ Επιςάμεθα μὲν σύνοδον ‘ τήνδε μάχης εἵνεκα συλλεγῆναι πρὸς

‘ τὸν βάρβαρον, ἀλλ’ ὐ λόγων· ἐπεὶ δὲ
‘ ὁ Τεγεήτης προέθηκε παλαιὰ καὶ καινὰ
‘ λέγειν τὰ ἑκατέροισι ἐν τῷ παντὶ χρό-
‘ νῳ κατέργασται χρηστά, ἀναγκαίως ἡ-
‘ μῖν ἔχει δηλῶσαι πρὸς ὑμέας, ὅθεν
‘ ἡμῖν πατρῷόν ἐστι, ἐοῦσι χρηστοῖσι, αἰεὶ
‘ πρώτοισι εἶναι μᾶλλον ἢ Ἀρκάσι. Ἡ-
‘ ρακλείδας, τῶν φασι οὗτοι ἀποκτεῖναι
‘ τὸν ἡγεμόνα ἐν Ἰσθμῷ, τοῦτο μὲν, τού-
‘ τους πρότερον ἐξελαυνομένους ὑπὸ πάν-
‘ των τῶν Ἑλλήνων, ἐς τοὺς ἀπικοίατο
‘ φεύγοντες δουλοσύνην πρὸς Μυκηναίων,
‘ μοῦνοι ὑποδεξάμενοι, τὴν Εὐρυσθέος ὕβριν
‘ κατείλομεν, σὺν κείνοισι μάχῃ νική-
‘ σαντες τοὺς τότε ἔχοντας Πελοπόννη-
‘ σον· τοῦτο δὲ, Ἀργείους τοὺς μετὰ Πο-
‘ λυνείκεος ἐπὶ Θήβας ἐλάσαντας, τε-
‘ λευτήσαντας τὸν αἰῶνα, καὶ ἀτάφους
‘ κειμένους, στρατευσάμενοι ἐπὶ τοὺς Καδ-
‘ μείους, ἀνελέσθαι τε τοὺς νεκροὺς φαμὲν,
‘ καὶ θάψαι τῆς ἡμετέρης ἐν Ἐλευσῖνι.

'tercandi gratia esse contractas; tamen 'quoniam Tegeata referre constituit prae'clara facinora tum vetusta tum nova, 'quae per omne tempus ab utrisque edita 'sunt, necesse habemus et nos exponere 'apud vos, unde nobis patrium sit, dum 'publice utiles sumus, semper esse primis 'potius quam Arcadibus. Heraclidas, 'quorum ducem isti apud Isthmum se 'praedicant interfecisse, primo quidem 'ejectos prius ab omnibus Graecis, quos 'illi adibant fugientes servitutem Myce'naeorum, nos soli excepimus; et Eu'rysthei injuriam una cum eisdem pug'nando propulsavimus, victoriaque potiti 'sumus de iis qui tum Peloponnesum te'nebant: deinde Argivos, qui ad Thebas 'cum Polynice militaverant, vita defunc'tos et insepultos, ducta in Cadmeos ex'peditione dicimus recepisse sua cadavera 'et in nostra terra apud Eleusinem hu-

'mavisse. Jam vero nostrum praeclarum
'facinus extat etiam in Amazonidas,
'quae a flumine Thermodonte aliquan-
'do in Atticam terram excurrere. Ac
'quidem in laboribus Troicis nequaquam
'fuimus segnes. Sed nihil admodum pro-
'ficit horum fecisse mentionem. etenim
'qui tunc egregii fuere, iidem nunc que-
'ant esse inertiores, et tunc instrenui,
'nunc sint meliores. Itaque satis sint de
'rebus priscis ista. Ut nullae autem res
'aliae nobis gestae sint, quae multae et
'praeclarae sunt, si ullis etiam aliis Grae-
'corum, certe ob rem in Marathone ges-
'tam digni sumus qui hoc decus et alia
'insuper obtineamus: qui soli Graeco-
'rum per nos cum Persa dimicavimus, et
'rem tantam aggressi, victores evasimus,
'sex et quadraginta nationibus superatis:
'quo solo nomine an non meruimus, ut
'hunc loci honorem juste consequamur?

‘ ἔστι δὲ ἡμῖν ἔργον εὖ ἔχον καὶ ἐς Ἀμα-
‘ ζονίδας, τὰς ἀποθήκας τὰς ἀπὸ Θερ-
‘ μώδοντος ποταμοῦ ἐσβαλούσας κοτὲ ἐς
‘ γῆν τὴν Ἀττικήν. καὶ ἐν τοῖσι Τρωϊ-
‘ κοῖσι πόνοισι οὐδαμῶν ἐλειπόμεθα. ἀλλ᾽
‘ οὐ γάρ τι προέχει τουτέων ἐπιμεμνῆ-
‘ σθαι. καὶ γὰρ ἂν χρηστοὶ[f] τότε ἐόντες,
‘ ὡυτοὶ νῦν ἂν εἶεν φλαυρότεροι· καὶ τό-
‘ τε ἐόντες φλαῦροι, νῦν ἂν εἶεν ἀμείνο-
‘ νες. παλαιῶν μέν νυν ἔργων ἅλις ἔστω·
‘ ἡμῖν δὲ, εἰ μηδὲν ἄλλό ἐστι ἀποδεδειγ-
‘ μένον, ὥσπέρ ἐστι πολλά τε καὶ εὖ
‘ ἔχοντα, εἰ τέοισι καὶ ἄλλοισι Ἑλλή-
‘ νων, ἀλλὰ καὶ ἀπὸ τοῦ ἐν Μαραθῶνι
‘ ἔργου ἄξιοι εἰμὲν τοῦτο τὸ γέρας ἔχειν,
‘ καὶ ἄλλα πρὸς τούτῳ· οἵ τινες μοῦνοι
‘ Ἑλλήνων δὴ μουνομαχήσαντες τῷ Πέρ-
‘ σῃ, καὶ ἔργῳ τοσούτῳ ἐπιχειρήσαντες,
‘ περιεγενόμεθα, καὶ ἐνικήσαμεν ἔθνεα ἕξ
‘ τε καὶ τεσσεράκοντα. ἆρ᾽ οὐ δίκαιοι εἰ-
‘ μὲν ἔχειν ταύτην τὴν τάξιν ἀπὸ τούτου

[f] καὶ γὰρ χρηστοί.

‘ μούνου τοῦ ἔργου; ἀλλ᾽ οὐ γὰρ ἐν τῷ τοιῷδε
‘ τάξιος εἵνεκα στασιάζειν πρέπει. ἄρτιοι
‘ εἰμὲν πείθεσθαι ὑμῖν, ὦ Λακεδαιμόνιοι,
‘ ἵνα δοκέῃ ἐπιτηδεώτατον ἡμέας εἶναι
‘ ἑστάναι, καὶ κατ᾽ οὓς τινας. πάντῃ γὰρ
‘ τεταγμένοι, πειρησόμεθα εἶναι χρηστοί.
‘ ἐξηγέεσθε δὲ ὡς πεισομένων.’

κή. Οἱ μὲν ταῦτα ἀμείβοντο· Λακεδαιμονίων δὲ ἀνέβωσε ἅπαν τὸ στρατόπεδον Ἀθηναίους ἀξιονικοτέρους εἶναι ἔχειν τὸ κέρας ἤπερ Ἀρκάδας. οὕτω δὴ ἔσχον οἱ Ἀθηναῖοι, καὶ ὑπερεβάλοντο τοὺς Τεγεήτας. μετὰ δὲ ταῦτα, ἐτάσσοντο ὧδε οἱ ἐπιφοιτῶντές τε καὶ οἱ ἀρχὴν ἐλθόντες Ἑλλήνων. τὸ μὲν δεξιὸν κέρας εἶχον Λακεδαιμονίων μύριοι· τουτέων δὲ τοὺς πεντακισχιλίους ἐόντας Σπαρτιήτας ἐφύλασσον ψιλοὶ τῶν εἱλωτέων πεντακισχίλιοι καὶ τρισμύριοι, περὶ ἄνδρα ἕκαστον ἑπτὰ τεταγμένοι. προσεχέας δέ σφι εἵλοντο ἑστάναι οἱ Σπαρτιῆται τοὺς Τε-

'Verum non decet in hac rerum condi-
'tione de ordine contendere: ubicunque
'et juxta quoſcunque vobis, Lacedaemo-
'nii, videbitur appoſitiſſimum nos ſtare,
'illuc euntes obtemperabimus. Ubicun-
'que enim loci nos collocati fuerimus,
'conabimur ſtrenui exiſtere. itaque du-
'cite nos, tanquam vobis parituros.'

28. Haec quum pro ſua parte dixiſſent Athenienſes, cunctus Lacedaemoniorum exercitus ſucclamavit digniores qui cornu tenerent Athenienſes quam Arcades. Ita Athenienſes Tegeatis ſuperiores habuere cornu. Mox hunc in modum ordinati ſunt et qui ſupervenere Graecorum, et qui a principio venerant: Dextrum cornu tenebant Lacedaemoniorum decem millia: quorum quinque millia erant Spartiatae, quos cuſtodiebant leviter armata triginta quinque hilotarum millia, ſeptenis circa ſingulos viros collocatis.

Applicuerunt autem ſibi Spartiatae Tegeatas, ut proximi ſtarent, honoris et virtutis ergo, numero mille et quingentos armatu pleno. Secundum hos ſtabant Corinthiorum quinque millia. Prope ipſos impetraverant ab Pauſania ſtare trecentos Potidaeatas eorum qui ex Pallene erant. Juxta hos ſtabant Arcades Orchomenii ſexcenti: juxta hos Sicyoniorum tria millia. His adpoſiti erant Epidauriorum octingenti: ſuper hos locati erant Troezenii mille. juxta Troezenios ducenti Lepreatae. poſt hos Mycenaeorum et Tirynthiorum quadringenti. Secundum hos, mille Phliaſii: dehinc Hermionenſes trecenti. juxta Hermionenſes, Eretrienſium et Styrenſium ſexcenti. juxta hos, Chalcidenſes quadringenti. poſt hos, Ampraciatarum quingenti. poſt eos, Leucadiorum et Anactoriorum octingenti. Hos

γεήτας, καὶ τιμῆς εἵνεκα καὶ ἀρετῆς. τουτέων δ' ἔσαν ὁπλῖται χίλιοι καὶ πεντακόσιοι. μετὰ δὲ τούτους ἵςαντο Κορινθίων πεντακισχίλιοι. παρὰ δέ σφισι εὕροντο παρὰ Παυσανίεω ἑςάναι Ποτιδαιητέων τῶν ἐκ Παλλήνης τοὺς παρεόντας τριηκοσίους. τουτέων δὲ ἐχόμενοι ἵςαντο Αρκάδες Ορχομένιοι ἑξακόσιοι· τουτέων δὲ, Σικυώνιοι τρισχίλιοι. τουτέων δὲ εἴχοντο, Επιδαυρίων ὀκτακόσιοι. παρὰ δὲ τούτους, Τροιζηνίων ἐτάσσοντο χίλιοι· Τροιζηνίων δὲ ἐχόμενοι, Λεπρεητέων [g] διηκόσιοι. τουτέων δὲ, Μυκηναίων καὶ Τιρυνθίων τετρακόσιοι. τουτέων δὲ ἐχόμενοι, Φλιάσιοι χίλιοι. παρὰ δὲ τούτους ἔςασαν Ἑρμιονέες τριηκόσιοι. Ἑρμιονέων δὲ ἐχόμενοι ἵςαντο Ερετριέων τε καὶ Στυρέων ἑξακόσιοι. τουτέων δὲ Χαλκιδέες [h] τετρακόσιοι. τουτέων δὲ, Αμπρακιητέων πεντακόσιοι. μετὰ δὲ τούτους, Λευκαδίων καὶ Ανακτορίων ὀκτακόσιοι ἔςασαν. του-

g Λεπραιητέων. k δὲ ἐχόμενοι, Χαλκιδέες.

τέων δὲ ἐχόμενοι, Παλέες οἱ ἐκ Κεφαλληνίης διηκόσιοι. μετὰ δὲ τούτους Αἰγινητέων πεντακόσιοι ἐτάχθησαν. παρὰ δὲ τούτους ἐτάσσοντο Μεγαρέων τρισχίλιοι. εἴχοντο δὲ τουτέων, Πλαταιέες ἑξακόσιοι. τελευταῖοι δὲ καὶ πρῶτοι Ἀθηναῖοι ἐτάσσοντο, κέρας ἔχοντες τὸ εὐώνυμον, ὀκτακισχίλιοι· ἐστρατήγεε δ' αὐτέων Ἀριστείδης ὁ Λυσιμάχου.

κθ'. Οὗτοι, πλὴν τῶν ἑπτὰ περὶ ἕκαστον τεταγμένων Σπαρτιήτησι, ἔσαν ὁπλῖται, σύμπαντες ἐόντες ἀριθμὸν τρεῖς μυριάδες, καὶ ὀκτὼ χιλιάδες, καὶ ἑκατοντάδες ἑπτά. ὁπλῖται μὲν οἱ πάντες συλλεγέντες ἐπὶ τὸν βάρβαρον, ἔσαν τοσοῦτοι. ψιλῶν δὲ πλῆθος ἦν τόδε· τῆς μὲν Σπαρτιητικῆς τάξιος, πεντακισχίλιοι καὶ τρισμύριοι ἄνδρες, ὡς ἐόντων ἑπτὰ περὶ ἕκαστον ἄνδρα· καὶ τουτέων πᾶς τις παρήρτητο ὡς ἐς πόλεμον. οἱ δὲ τῶν λοιπῶν Λακεδαιμονίων καὶ Ἑλλήνων ψιλοὶ, ὡς εἷς περὶ

ſequebantur Paleenſes ex Cephallenia, ducenti. poſt hos inſtructi Aeginetarum quingenti. juxta hos Megarenſium tria millia, quibus adſtabant Plataeenſes ſexcenti. Ultimi et iidem primi ſtabant Athenienſes, laevum tenentes cornu, octo millia, duce Ariſtide Lyſimachi filio.

29. Hi omnes, praeter eos qui ſepteni circa ſingulos ab Spartanis ſtatuti erant, fuerunt numero triginta octo millia et ſeptingenti. Gravis quidem armaturae omnes, adverſus barbarum contracti, tot erant. Leviter vero armati, triginta quinque millia, ſepteni circa ſingulos Spartiatas collocati, quorum unuſquiſque ad pugnandum erat inſtructus. Ceterorum autem Lacedaemoniorum ac Graecorum leviter armati, utpote viro

uno circa virum unumquemque ſtante, triginta quatuor millia quingenti. Summa igitur totius levis armaturae, quae pugnare poſſet, ſexaginta novem millia quingenti. Totus autem Graecus exercitus qui ad Plataeas coiit pugnae aptus, tam levis quam gravis armaturae, fuit centum et decem millium, minus mille et octingentis. Sed numerus centum et decem millium explebatur ab Theſpienſibus, qui aderant; quippe etiam Theſpienſes in exercitu ſuperſtites ad mille et octingentos, qui nec ipſi arma habebant. Et hi quidem ad flumen Aſopum poſiti caſtra metabantur.

30. Barbari vero qui cum Mardonio erant, poſteaquam Maſiſtium eluxerunt, cognito Graecos apud Plataeas eſſe, et ipſi ad Aſopum qui illac fluit, ita ſunt e regione a Mardonio collocati: Adverſus

ἕκαστον ἐὼν ἄνδρα, πεντακόσιοι καὶ τετρακισχίλιοι καὶ τρισμύριοι ἔσαν. ψιλῶν μὲν δὴ τῶν ἁπάντων μαχίμων ἦν τὸ πλῆθος ἕξ τε μυριάδες, καὶ ἐννέα χιλιάδες, καὶ ἑκατοντάδες πέντε. τοῦ δὲ σύμπαντος τοῦ Ἑλληνικοῦ τοῦ συνελθόντος ἐς Πλαταιὰς σύν τε ὁπλίτῃσι καὶ ψιλοῖσι τοῖσι μαχίμοισι, ἕνδεκα μυριάδες ἔσαν, μιῆς χιλιάδος, πρὸς δὲ ὀκτακοσίων ἀνδρῶν καταδέουσαι. σὺν δὲ Θεσπιέων τοῖσι παρεοῦσι ἐξεπληροῦντο αἱ ἕνδεκα μυριάδες. παρῆσαν γὰρ καὶ Θεσπιέων ἐν τῷ στρατοπέδῳ οἱ περιεόντες, ἀριθμὸν ἐς ὀκτακοσίους καὶ χιλίους. ὅπλα δὲ οὐδ' οὗτοι εἶχον. οὗτοι μέν νυν ταχθέντες ἐπὶ τῷ Ἀσωπῷ ἐστρατοπεδεύοντο.

λʹ. Οἱ δ' ἀμφὶ Μαρδόνιον βάρβαροι, ὡς ἀπεκήδευσαν Μασίστιον, παρῆσαν, πυθόμενοι τοὺς Ἕλληνας εἶναι ἐν Πλαταιῆσι, καὶ αὐτοὶ ἐπὶ τὸν Ἀσωπὸν τὸν ταύτῃ ῥέοντα. ἀπικόμενοι δὲ, ἀντετάσσοντο ὧδε ὑπὸ Μαρδονίου· κατὰ μὲν Λακεδαιμονίους

ἔστησε Πέρσας. καὶ δὴ, πολλὸν γὰρ περίεσαν πλήθεϊ Πέρσαι, ἐπί τε τάξις πλεῦνας ἐκεκοσμέατο, κ) ἐπεῖχον τὺς Τεγεήτας. ἔταξε δὲ ὅτω· ὅ,τι μὲν ἦν αὐτῷ δυνατώτατον πᾶν ἀπολέξας, ἔστησε ἀντίον Λακεδαιμονίων· τὸ δὲ ἀσθενέστερον παρέταξε κατὰ τὺς Τεγεήτας. ταῦτα δ' ἐποίεε, φραζόντων τε κ) διδασκόντων Θηβαίων. Περσέων δὲ ἐχομένυς ἔταξε Μήδυς· ὅτοι δὲ ἐπέχον Κορινθίυς τε κ) Ποτιδαιήτας, κ) Ορχομενίυς τε κ) Σικυωνίυς. Μήδων δὲ ἐχομένυς ἔταξε Βακτρίυς· ὅτοι δὲ ἐπέχον Επιδαυρίυς τε κ) Τροιζηνίυς, κ) Λεπρεήτας τε [a] κ) Τιρυνθίυς, κ) Μυκηναίυς τε κ) Φλιασίυς. μετὰ δὲ Βακτρίυς ἔστησε Ινδύς· ὅτοι δὲ ἐπέχον Ἑρμιονέας τε κ) Ερετριέας, κ) Στυρέας τε κ) Χαλκιδέας. Ινδῶν δὲ ἐχομένυς Σάκας ἔταξε· οἳ ἐπέχον Αμπρακιήτας τε κ) Ανακτορίυς, κ) Λευκαδίυς, κ) Παλέας, κ) Αἰγινήτας. Σακέων δὲ ἐχομένυς ἔταξε ἀντία Αθη-

[a] Λεπραιήτας τε.

quidem Lacedaemonios Perſae, qui quia copia antecedebant, et in ordines plures erant digeſti, uſque ad Tegeatas opponebantur: ita ut quod robuſtiſſimum in exercitu erat, id omne contra Lacedaemonios; quod infirmius, id contra Tegeatas eſſet. Haec faciebat Mardonius Thebanorum indicio atque admonitu. Juxta Perſas autem collocavit Medos, ut ex adverſo eſſent Corinthiis et Potidaeatis et Orchomeniis et Sicyoniis. Poſt Medos collocavit Bactrios ex adverſo Epidauriorum et Troezeniorum et Lepreatarum ac Tirynthiorum, Mycenaeorumque et Phliaſiorum. Secundum Bactrios collocavit Indos ex adverſo Hermionenſium et Eretrienſium Styrenſiumque et Chalcidenſium. Poſt Indos ſtatuit Sacas oppoſitos Ampraciatis, et Anactoriis, et Leucadiis, et Palenſibus, et Aeginetis. Poſt Sacas poſuit ex adverſo Athenienſi-

um Plataeensiumque ac Megarensium, Boeotos et Locros et Melienses et Thessalos, et mille Phocensium. Non enim Phocenses omnes a partibus Medorum stabant, sed eorum nonnulli et Graecis studebant apud Parnasum deprehensi; et illinc excurrentes, invadebant et vexabant Mardonii copias pariter et Graecorum qui cum illo erant. Contra Athenienses item posuit Macedonas, Thessaliaeque accolas.

31. Hae nationum maximae nominatae sunt a Mardonio in aciem instructae, quae et celeberrimae erant et plurimi fiebant. Aderant ceterarum quoque gentium intermixti viri, tum Phrygum, Thracum, Mysorum, Paeonum, et aliorum. Quinetiam Aethiopum et Aegyptiorum qui Hermotybies et Calasiries nominantur, gladio cincti, qui soli sunt ex Aegyptiis pugnaces: a Mardonio, quum adhuc

ναίων τε καὶ Πλαταιέων καὶ Μεγαρέων, Βοιωτὺς τε καὶ Λοκρὺς, καὶ Μηλιέας, καὶ Θεσσαλὺς, καὶ Φωκέων τὺς χιλίυς. ὐ γὰρ ὦν ἅπαντες οἱ Φωκέες ἐμήδισαν, ἀλλά τινες αὐτέων. καὶ τὰ Ἑλλήνων ηὖξον, περὶ τὸν Παρνησὸν κατειλημμένοι. καὶ ἐνθεῦτεν ὁρμεώμενοι ἔφερόν τε καὶ ἦγον τήν τε Μαρδονίυ στρατιὴν καὶ τὺς μετ᾽ αὐτῦ ἐόντας Ἑλλήνων. ἔταξε δὲ καὶ Μακεδόνας τε καὶ τὺς περὶ Θεσσαλίην οἰκημένυς [b] κατὰ τὺς Ἀθηναίυς.

λα΄. Ταῦτα μὲν τῶν ἐθνέων τὰ μέγιστα ὀνόμασται τῶν ὑπὸ Μαρδονίῳ ταχθέντων, τάπερ ἐπιφανέστατά τε ἦν καὶ λόγυ πλείστυ. ἐνῆσαν δὲ καὶ ἄλλων ἐθνέων ἄνδρες ἀναμεμιγμένοι, Φρυγῶν τε καὶ Θρηίκων, καὶ Μυσῶν τε καὶ Παιόνων, καὶ τῶν ἄλλων· ἐν δὲ, καὶ Αἰθιόπων τε καὶ Αἰγυπτίων, οἵ τε Ἑρμοτύβιες, καὶ οἱ Καλασίριες, καλεόμενοι μαχαιροφόροι· οἵπερ εἰσὶ Αἰγυπτίων

[b] οἰκεομένυς.

μȣ̃νοι μάχιμοι. τȣ́τȣς δὲ ἔτι ἐὼν ἐν Φαλήρῳ, ἀπὸ τῶν νηῶν ἀπεϐιϐάσατο, ἐόντας ἐπιϐάτας. ȣ̓ γὰρ ἐτάχθησαν ἐς τὸν πεζὸν τὸν ἅμα Ξέρξῃ ἀπικόμενον ἐς τὰς Ἀθήνας Αἰγύπτιοι. τῶν μὲν δὴ βαρϐάρων ἔσαν τριήκοντα μυριάδες, ὡς καὶ πρότερόν μοι [c] δεδήλωται· τῶν δὲ Ἑλλήνων τῶν Μαρδονίȣ συμμάχων οἶδε μὲν ȣ̓δεὶς ἀριθμόν· (ȣ̓ γὰρ ὦν ἠριθμήθησαν) ὡς δὲ ἀπεικάσαι [d] ἐςὶ, ἐς πέντε μυριάδας συλλεγῆναι εἰκάζω· ȣ̃τοι οἱ παραταχθέντες πεζοὶ ἔσαν. ἡ δὲ ἵππος χωρὶς ἐτέτακτο.

λϐ. Ὡς δὲ ἄρα πάντές οἱ ἐτετάχατο κατὰ ἔθνεα καὶ κατὰ τέλεα, ἐνθαῦτα τῇ δευτέρῃ ἡμέρῃ ἐθύοντο καὶ ἀμφότεροι. Ἕλλησι μὲν, Τισαμενὸς Αντιόχȣ ἦν ὁ θυόμενος. ȣ̃τος γὰρ δὴ εἵπετο τῷ ςρατεύματι τȣ́τῳ μάντις· τὸν, ἐόντα Ἠλεῖον, καὶ γένεος τȣ̃ Ιαμιδέων Κλυτιάδην, Λακεδαιμόνιοι ἐποιήσαντο λεω-

c Vocula haec μοι non est in MS. d MS. ἀπεικάσαι.

eſſet in Phalero, e navibus in quibus propugnatores erant, in terram tranſlati. non enim cum pedeſtribus copiis, quae cum Xerxe Athenas ierant, Aegyptii cenſi fuerant. Barbarorum igitur (ut etiam ſuperius oſtenſum eſt) trecenta millia fuere: Graecorum vero Mardonii auxiliariorum, nemo numerum (neque enim numerati fuerant) novit. Ut autem conjectura colligere licet, ad quinquaginta millia fuiſſe conjecto. Tot ex adverſo inſtructi fuere pedites: equitatus vero ſeorſum erat collocatus.

32. Ita diſpoſiti nationatim manipulatimque quum eſſent omnes, utrique etiam altero die ſacrificaverunt. Apud Graecos ſacrificus erat Tiſamenus Antiochi filius. is enim hunc exercitum vates comitabatur, Eleus quidem et ex genere Jamidarum Clytiades, a Lacedaemoniis populo

ipſorum inſertus. Nam huic conſultanti oraculum apud Delphos de prole reſpondit Pythia quinque ipſum maxima certamina excepturum. Quo non intellecto Tiſamenus gymnaſiis operam dabat, tanquam gymnicos agones excepturus, quumque ſe exerceret in quinquertione, praeter unum ludicrum ei proceſſit vincere Olympia, veniens in contentionem cum Hieronymo Andrio. Lacedaemonii autem interpretantes non ad gymnica certamina ſpectare Tiſameni oraculum, ſed ad bellica, conabantur eum mercede conducere, ut una cum Heraclidarum regibus dux bellicorum certaminum foret. Hic videns Spartiatas plurimi facere ipſius amicitiam, id animadvertens, extendebat amicitiae ſuae decus: quod negaret ſe alio pretio id facturum, quam ſi Spartiatam ſe civem facerent, omnia jura civitatis impertien-

σφέτερον. Τισαμενῷ γὰρ μαντευομένῳ ἐν Δελφοῖσι περὶ γόνε, ἀνεῖλε ἡ Πυθίη, ἀγῶνας τὲς μεγίςες ἀναιρήσεσθαι πέντε. ὁ μὲν δὴ ἁμαρτὼν τε χρηςηρίε, προσεῖχε τοῖσι γυμνασίοισι, ὡς ἀναιρησόμενος γυμνικοὺς ἀγῶνας. ἀσκέων δὲ πεντάεθλον, παρὰ ἓν πάλαισμα ἔδραμε νικᾷν ὀλυμπιάδα, Ἱερωνύμῳ τῷ Ἀνδρίῳ ἐλθὼν ἐς ἔριν. μαθόντες δὲ Λακεδαιμόνιοι ὐκ ἐς γυμνικὲς, ἀλλ' ἐς ἀρηΐες ἀγῶνας φέρον τὸ Τισαμενε μαντήϊον, μισθῷ ἐπειρῶντο πείσαντες Τισαμενὸν ποιέεσθαι ἅμα Ἡρακλειδέων τοῖσι βασιλεῦσι ἡγεμόνα τῶν πολεμίων. ὁ δὲ, ὁρέων περὶ πολλε ποιευμένες Σπαρτιήτας φίλον αὐτὸν προσθέσθαι, μαθὼν τῦτο, ἀνετίμα, σημαίνων σφι, ὡς ἤν μιν πολιήτην σφέτερον ποιήσωνται, τῶν πάντων μεταδιδόντες, ποιήσει ταῦτα, ἐπ' ἄλλῳ μισθῷ δ' ὔ. Σπαρτιῆται δὲ, πρῶτα μὲν ἀκέσαντες, δεινὰ ἐποίευν τε καὶ μετίε-

σαν τῆς χρησμοσύνης τοπαράπαν· τέλος δὲ, δείματος μεγάλε ἐπικρεμαμένε τε̃ Περσικε̃ τέτε ςρατεύματος, καταίνεον μετιέντες. ὁ δὲ, γνὲς τετραμμένες σφέας, ἐδ' ἔτω ἔφη ἔτι ἀρκέεσθαι τέτοισι μένοισι, ἀλλὰ δεῖν ἔτι καὶ τὸν ἀδελφεὸν ἑωϋτε̃ Ἡγίην γενέσθαι Σπαρτιήτην ἐπὶ τοῖσι αὐτοῖσι λόγοισι τοῖσι καὶ αὐτὸς γίνεται.

λγʹ. Ταῦτα δὲ λέγων ἔτος ἐμιμέετο Μελάμποδα, ὡς εἰκάσαι, βασιληΐηντε καὶ πολιτηΐην αἰτεόμενος. καὶ γὰρ δὴ καὶ Μελάμπες, τῶν ἐν Αργεϊ γυναικῶν μανεισέων, ὥς μιν οἱ Αργεῖοι ἐμισθε̃ντο ἐκ Πύλε παῦσαι τὰς σφετέρας γυναῖκας τῆς νέσε, μισθὸν προετείνετο τῆς βασιληΐης τὸ ἥμισυ. ἐκ ἀνασχομένων δὲ τῶν Αργείων, ἀλλ' ἀπιόντων, ὡς ἐμαίνοντο πολλῷ πλεῦνες τῶν γυναικῶν, ἔτω δὴ ὑποςάντες τὰ ὁ Μελάμπες προετείνατο, ἤϊσαν δώσοντες οἱ ταῦ-

tes. Id Spartiatae quum primo audiſſent, ferentes indigne, oraculum miſſum omnino fecerunt: tandem imminente ingenti Perſici iſtius exercitus metu, indulgentes annuebant. Eos iſte immutatos intelligens, negare jam ſe eis ſolis eſſe contentum: ſed oportere fratrem ſuum Hegiam etiam fieri Spartiatam eadem conditione qua et ipſe fieret.

33. Hoc autem dicens imitabatur, ut conjectare licet, Melampodem, regnum pariter et civitatem poſcendo. Etenim Melampus quum ab Argivis mercede conduceretur e Pylo ad compeſcendum morbum furoris mulierum ſuarum, poſcebat pro mercede dimidium regni. recuſantibus id Argivis atque digreſſis, quum plures e mulieribus inſanirent, ita obtemperantes, quod Melampus popoſcerat da-

turi reverterunt. Ibi ille cernens hos eſſe immutatos, plura optavit, negans ſe indulturum quae vellent, niſi et fratri ſuo Bianti tertiam partem regni donaſſent. Argivi in arctum redacti hoc quoque annuerunt.

34. Ita Spartiatae, quum majorem in modum Tiſameno egerent, prorſus ei aſſenſerunt: et conceſſu iſtorum Tiſamenus Eleus Spartiata effectus quinque maxima certamina vaticinans cum eis ſuſcepit. Hi ex omnibus hominibus ſoli ſunt a Spartiatis civitate donati. Quinque autem certamina haec fuere: Unum et id primum hoc quod pugnatum eſt ad Plataeas: alterum, quod in Tegea cum Tegeatis atque Argivis: tertium, quod in Dipaeenſibus cum univerſis Arcadibus praeter Mantineos: quartum, quod cum Meſſeniis ad Iſthmum: ultimum, quod in Ta-

τα. ὁ δὲ ἐνθαῦτα δὴ ἐπορέγετο, ὁρέων αὐτὲς τετραμμένες, φὰς, ἢν μὴ καὶ τῷ ἀδελφεῷ Βίαντι μεταδῶσι τὸ τριτημόριον τῆς βασιληΐης, ἐ ποιήσειν τὰ βέλονται. οἱ δὲ Αργεῖοι, ἀπειληθέντες ἐς στεινὸν, καταινέεσι καὶ ταῦτα.

λδ'. Ὧς δὲ καὶ Σπαρτιῆται, ἐδέοντο γὰρ δεινῶς τε Τισαμενε, πάντως συνεχώρεόν οἱ. συγχωρησάντων δὲ καὶ ταῦτα τῶν Σπαρτιητέων, ὅτω δὴ πέντε σφι μαντευόμενος ἀγῶνας τὲς μεγίστες Τισαμενὸς ὁ Ηλεῖος, γενόμενος Σπαρτιήτης, συγκαταιρέει. μᾶνοι δὲ δὴ πάντων ἀνθρώπων ἐγένοντο ὅτοι Σπαρτιήτῃσι πολιῆται. οἱ δὲ πέντε ἀγῶνες, οἵδε ἐγένοντο· εἷς μὲν καὶ πρῶτος, ὅτος ὁ ἐν Πλαταιῇσι· ἐπὶ δὲ, ὁ ἐν Τεγέῃ πρὸς Τεγεήτας καὶ Αργείες γενόμενος· μετὰ δὲ, ὁ ἐν Διπαιεῦσι πρὸς Αρκάδας πάντας, πλὴν Μαντινέων· ἐπὶ δὲ, Μεσσηνίων ὁ πρὸς τῷ Ιθμῷ· ὕστατος δὲ, ὁ ἐν Τανάγρῃ πρὸς

Αθηναίους τε καὶ Αργείους γενόμενος. οὗτος δὲ ὕςατος κατεργάσθη τῶν πέντε ἀγώνων.

λε΄. Οὗτος δὴ τότε τοῖσι Ἕλλησι ὁ Τισαμενὸς, ἀγόντων τῶν Σπαρτιητέων, ἐμαντεύετο ἐν Πλαταιῇσι. τοῖσι μέν νυν Ἕλλησι καλὰ ἐγίνετο τὰ ἱρὰ ἀμυνομένοισι· διαβᾶσι δὲ τὸν Ασωπὸν, καὶ μάχης ἄρχουσι, οὔ.

λϛ΄. Μαρδονίῳ δὲ προθυμεομένῳ μάχης ἄρχειν, οὐκ ἐπιτήδεα ἐγίνετο τὰ ἱρά· ἀμυνομένῳ δὲ καὶ τούτῳ, καλά. καὶ γὰρ οὗτος Ἑλληνικοῖσι ἱροῖσι ἐχρέατο [c], μάντιν ἔχων Ἡγησίςρατον, ἄνδρα Ηλεῖόν τε καὶ τῶν Τελλιαδέων ἐόντα λογιμώτατον· τὸν δὴ πρότερον τούτων Σπαρτιῆται λαβόντες, ἔδησαν ἐπὶ θανάτῳ, ὡς πεπονθότες πολλά τε καὶ ἀνάρσια ὑπ᾽ αὐτοῦ. ὁ δὲ, ἐν τούτῳ τῷ κακῷ ἐχόμενος, ὥςτε τρέχων περὶ τῆς ψυχῆς, πρό τε τοῦ θανάτου πησόμενος πολλά τε καὶ λυγρὰ, ἔργον ἐργάσατο μέζον λόγου. ὡς γὰρ δὴ ἐδέδετο ἐν ξύλῳ

[c] ἐχρᾶτο.

nagra cum Athenienſibus et Argivis. Hoc autem ultimum peractum fuit quinque certaminum.

35. Tiſamenus igitur Spartiatarum tunc ductor vaticinatus eſt Graecis in agro Plataeenſi: et apud Graecos quidem pulchre litatum eſt, ſi ſe defenderent: non ſi Aſopum tranſgreſſi pugnam capeſſerent.

36. Mardonio autem capeſſendae pugnae avido non extitere pulchra exta, niſi et ipſe ſeſe defenderet. nam is quoque Graecis ſacrificiis utebatur, haruſpicem habens Hegeſiſtratum virum Eleum, et Telliadarum praeſtantiſſimum. Hunc ante ea tempora Spartiatae quum cepiſſent, in vincula conjecerant morte affecturi, ut a quo multa et intoleranda perpeſſi fuiſſent. Ille in hac calamitate poſitus, utpote de vita periclitans, et qui ante mortem multa ac triſtia foret paſſurus, rem perpetravit dictu majorem. nam

ut erat conſtrictus nervis ferro vinctis, ferro forte illato fuit potitus, et confeſtim excogitavit opus omnium, quae nos novimus, maxime virile. Conjectans enim qua ratione reliquum pedis educeretur, praecidit ſibi plantam pedis. hoc acto, quum ab excubitoribus obſervaretur, tamen ſubfoſſo muro profugit Tegeam, noctu progrediens, interdiu ſylvis ſe abdens atque immorans ita, ut Lacedaemoniis eum paſſim perſcrutantibus, trinoctio Tegeam pervenerit, utque admirarentur magnopere hominis audaciam, cujus dimidiatum pedem jacentem cernerent, ipſum invenire non poſſent. Ita Hegeſiſtratus Lacedaemoniis elapſus, Tegeam, quae per id tempus non erat pacata Lacedaemoniis, transfugit. Sanato vulnere et ligneo pede adſcito, ex profeſſo Lacedaemoniis hoſtis extitit. Sed non ad poſtremum ei protractum in Lacedaemo-

σιδηροδέτῳ, ἐσενειχθένlος κως σιδηρίȣ ἐκράτησε. αὐτίκα δὲ ἐμηχανᾶτο ἀνδρειότατον ἔργον πάντων τῶν ἡμεῖς ἴδμεν. σαθμησάμενος γὰρ ὅκως ἐξελεύσεlαί οἱ τὸ λοιπὸν τȣ̃ ποδὸς, ἀπέταμε τὸν ταρσὸν ἑωϋτȣ̃. ταῦτα δὲ ποιήσας, ὡς φυλασσόμενος ὑπὸ φυλάκων, διορύξας τὸν τοῖχον, ἀπέδρη ἐς Τεγέην, τὰς μὲν νύκτας πορευόμενος, τὰς δὲ ἡμέρας καlαδύνων ἐς ὕλην, καὶ αὐλιζόμενος ȣ̃τω, ὥστε Λακεδαιμονίων πανδημεὶ διζημένων, τρίτῃ εὐφρόνῃ γενέσθαι ἐν Τεγέῃ· τȣ̀ς δὲ ἐν θωΰμαlι μεγάλῳ ἐνέχεσθαι τῆς τε τόλμης, ὁρέονlας τὸ ἡμίτομον τȣ̃ ποδὸς τȣ̃το κείμενον, κἀκεῖνον ȣ̓ δυναμένȣς εὑρεῖν. τότε μὲν ȣ̃τω διαφυγὼν Λακεδαιμονίȣς, καταφεύγει ἐς Τεγέην, ἐȣ̃σαν ȣ̓κ ἀρθμίην Λακεδαιμονίοισι τȣ̃τον τὸν χρόνον. ὑγιὴς δὲ γενόμενος, καὶ προσποιησάμενος ξύλινον πόδα, καlεστήκεε ἐκ τῆς ἰθείης Λακεδαιμονίοισι πολέμιος. ȣ̓ μέν τοι ἔς γε τέλος οἱ συνήνεικε τὸ ἔχ-

θος τὸ ἐς Λακεδαιμονίους συγκεχυρημένον. ἥλω γὰρ μαντευόμενος ἐν Ζακύνθῳ ὑπ᾽ αὐτῶν, κ) ἀπέθανε.

λζ΄. Ὁ μέντοι θάνατος ὁ Ἡγησιστράτου, ὕστερον ἐγένετο τῶν Πλαταιϊκῶν· τότε δ᾽ ἐπὶ τῷ Ἀσωπῷ τῷ Μαρδονίῳ μεμισθωμένος οὐκ ὀλίγου, ἐθύετό τε καὶ προεθυμέετο κατά τε τὸ [f] ἔχθος τὸ Λακεδαιμονίων, κ) κατὰ τὸ κέρδος. ὡς δὲ οὐκ ἐκαλλιέρεε ὥστε μάχεσθαι, οὔτε αὐτοῖσι Πέρσῃσι, οὔτε τοῖσι μετ᾽ ἐκείνων ἐοῦσι Ἑλλήνων, (εἶχον γὰρ καὶ οὗτοι ἐπ᾽ ἑωϋτῶν μάντιν Ἱππόμαχον, Λευκάδιον ἄνδρα) ἐπιῤῥεόντων δὲ τῶν Ἑλλήνων, κ) γινομένων πλεύνων, Τιμογενίδης ὁ Ἕρπυος, ἀνὴρ Θηβαῖος, συνεβούλευσε Μαρδονίῳ τὰς ἐκβολὰς τοῦ Κιθαιρῶνος φυλάξαι· λέγων ὡς ἐπιῤῥέουσι οἱ Ἕλληνες αἰεὶ ἀνὰ πᾶσαν ἡμέρην, κ) ὡς ἀπολάμψοιτο συχνούς.

λη΄. Ἡμέραι δέ σφι ἀντικατημένοισι ἤδη ἐγεγόνεσαν ὀκτὼ, ὅτε ταῦτα ἐκεῖνος

[f] κατά τὸ.

nios odium profuit. nam in Zacyntho quum vaticinaretur, ab his captus atque interemptus eſt.

37. Verum hic Hegeſiſtrati interitus poſterior rebus Plataeenſibus fuit. Tunc autem is a Mardonio non exigua ſumma conductus, cupide ſacrificabat, cum in Lacedaemonios odio, tum lucri gratia. Quum igitur exta non eſſent pulchra ad pugnam committendam neque ipſis Perſis, neque Graecis qui cum illis erant, (habebant enim et Graeci illi ſeorſum ſuum haruſpicem quendam Leucadium Hippomachum) quumque adfluerent Graeci, et eorum numerus creſceret, ſuaſit Mardonio Timogenides Herpyis filius vir Thebanus, ut exitus Cithaeronis cuſtodiret, quod diceret aſſidue indies adfluere Graecos, ac fore, ut multos interciperet.

38. Jam autem dies octo abierant poſitis e regione caſtris, quum iſte Mar-

donio hoc confilium dedit. Mardonius, admoneri fe probe intelligens, primis tenebris equitatum mittit ad egreffus Cithaeronis, qui Plataeas ferunt: quae Boeoti Tria capita, Athenienfes Capita quercus appellant. Equites miffi non fruftra pervenere. nacti enim ingredientia campum quingenta jumenta, quae commeatum e Peloponnefo ad exercitum fubvehebant, cum hominibus qui fequebantur vehicula, capiunt. Perfae hanc praedam nacti, immifericorditer trucidant, neque jumento ulli neque homini parcentes. In quibus occidendis pofteaquam fatis funt graffati, cum ceteris quae corripuerant, ad Mardonium funt et ad exercitum reverfi.

39. Poft hanc rem geftam biduum abfumptum eft, neutris pugnam laceffere volentibus. nam etfi Afopo tenus bar-

συνεβύλευε Μαρδονίῳ. ὁ δὲ, μαθὼν τὴν παραίνεσιν εὖ ἔχουσαν, ὡς εὐφρόνη ἐγένετο, πέμπει τὴν ἵππον ἐς τὰς ἐκβολὰς τὰς Κιθαιρωνίδας, αἳ ἐπὶ Πλαταιέων φέρουσι· τὰς Βοιωτοὶ μὲν, τρεῖς κεφαλὰς καλέουσι, Ἀθηναῖοι δὲ, δρυὸς κεφαλάς· πεμφθέντες δὲ οἱ ἱππόται, οὐ μάτην ἀπίκοντο. ἐσβάλλοντα γὰρ ἐς τὸ πεδίον, λαμβάνουσι ὑποζύγιά τε πεντακόσια, σιτία ἄγοντα ἀπὸ Πελοποννήσου ἐς τὸ στρατόπεδον, καὶ ἀνθρώπους, οἳ εἵποντο τοῖσι ζεύγεσι. ἑλόντες δὲ ταύτην τὴν ἄγρην οἱ Πέρσαι, ἀφειδέως ἐφόνευον, οὐ φειδόμενοι[a] οὔτε ὑποζυγίου οὐδενὸς, οὔτε ἀνθρώπου. ὡς δὲ ἅδην εἶχον κτείνοντες, τὰ λοιπὰ αὐτέων ἤλαυνον περιβαλλόμενοι παρά τε Μαρδόνιον καὶ ἐς τὸ στρατόπεδον.

λθ'. Μετὰ δὲ τοῦτο τὸ ἔργον, ἑτέρας δύο ἡμέρας διέτριψαν, οὐδέτεροι βουλόμενοι μάχης ἄρξαι. μέχρι μὲν γὰρ τοῦ Ἀσω-

[a] ἐφόνευον, φειδόμενοι.

πȣ̃ ἐπήϊσαν οἱ βάρβαροι, πειρώμενοι τῶν Ἑλλήνων, διέβαινον δὲ ȣ̓δέτεροι. ἡ μέντοι ἵππος ἡ Μαρδονίȣ αἰεὶ προσέκειτό τε καὶ ἐλύπεε τοὺς Ἕλληνας. οἱ γὰρ Θηβαῖοι, ἅτε μηδίζοντες μεγάλως, προθύμως ἔφερον τὸν πόλεμον, καὶ αἰεὶ κατηγέοντο μέχρι μάχης. τὸ δὲ ἀπὸ τȣ́τȣ παραδεκόμενοι Πέρσαι τε καὶ Μῆδοι, μάλα ἔσχον οἳ ἀπεδείκνυντο ἀρετάς.

μ΄. Μέχρι μέν νυν τῶν δέκα ἡμερέων ȣ̓δὲν ἐπὶ πλεῦν ἐγίνετο τȣτέων· ὡς δὲ ἑνδεκάτη ἐγεγόνεε ἡμέρη ἀντικατημένοισι ἀλλήλοισι[b] ἐν Πλαταιῇσι, οἵ τε δὴ Ἕλληνες πολλῷ πλεῦνες ἐγεγόνεσαν, καὶ Μαρδόνιος περιημέκτεε τῇ ἕδρῃ, ἐνθαῦτα ἐς λόγȣς ἦλθον Μαρδόνιός τε ὁ Γωβρύεω καὶ Αρτάβαζος ὁ Φαρνάκεος, ὃς ἐν ὀλίγοισι Περσέων ἦν ἀνὴρ δόκιμος παρὰ Ξέρξῃ. βȣλευομένων δὲ αἵδε ἔσαν αἱ γνῶμαι· ἡ μὲν Αρταβάζȣ, ὡς χρεὼν εἴη ἀναζεύξαντας τὴν ταχίστην πάντα τὸν

b Vox ἀλλήλοισι non eſt in MS.

bari processerant irritandi Graecos gratia, neutri tamen sibi traseundum statuebant. equitatus modò Mardonii progrediebatur, et Graecos infestabat: quia Thebani, utpote in amorem Medorum vehementer propensi, ferebant alacriter bellum, et assidue provehebantur usque ad proelium: deinde excipientes Persae ac Medi, praecipue praeclara facinora edebant.

40. His amplius ad decem usque dies nihil est actum. at ubi undecimus dies exstitit considentibus ex adverso copiis ad Plataeas, et Graecis longe plures accesserant, quum etiam Mardonius stativa illa gravaretur, ibi venere in colloquium Mardonius Gobryae et Artabazus Pharnacis filius, vir apud Xerxem inter paucos Persarum probatus. quorum consultantum hae fuere sententiae: Artabazi quidem, expedire motis quamprimum castris ire ad

moenia Thebana, quo multum rei frumentariae ipſis multumque pabuli jumentis comparaviſſent; atque ibi conſidentes tranquille rem conficerent ita agendo. Quippe quum multum auri tum ſignati, tum non ſignati haberent, multum etiam argenti ac poculorum, ne parcerent illis, ſed ea ad Graecos mitterent, eos praecipue qui civitatibus praeſiderent. fore enim, ut illi ſuam celeriter traderent libertatem: neque rurſus pugnandi adire diſcrimen. Eadem autem Thebanorum quae iſtius ſententia erat, tanquam aliquid plus iſto proſpiciente. Mardonii autem ſententia ferocior pertinaciorque, et nullo modo cedens: quippe opinantis multo meliorem ſuum eſſe quam Graecorum exercitum, et primo quoque tempore confligere, quam committere ut plures quam coacti

ςρατὸν, ἰέναι ἐς τὸ τεῖχος τὸ Θηβαίων, ἔνθα σῖτόν τέ σφι ἐσενηνεῖχθαι πολλὸν, καὶ χόρτον τοῖσι ὑποζυγίοισι· κατ' ἡσυχίην τε ἰζομένους διαπρήσσεσθαι ποιεῦντας τάδε. ἔχειν γὰρ χρυσὸν πολλὸν μὲν ἐπίσημον, πολλὸν δὲ καὶ ἄσημον· πολλὸν δὲ καὶ ἄργυρόν τε καὶ ἐκπώματα· τουτέων φειδομένους μηδενὸς, διαπέμπειν ἐς τοὺς Ἕλληνας, Ἑλλήνων δὲ μάλιςα ἐς τοὺς προεςεῶτας ἐν τῇσι πόλισι· καὶ ταχέως σφέας παραδώσειν τὴν ἐλευθερίην, μηδὲ ἀνακινδυνεύειν συμβάλλοντας. τούτου μὲν ἡ αὐτὴ[c] ἐγένετο καὶ Θηβαίων γνώμη, ὡς προειδότος πλεῦν τι καὶ τούτου· Μαρδονίου δὲ, ἰσχυροτέρη τε καὶ ἀγνωμονεςέρη, καὶ οὐδαμῶς συγγινωσκομένη. δοκέειν τε γὰρ πολλῷ κρέσσονα εἶναι τὴν σφετέρην ςρατιὴν τῆς Ἑλληνικῆς, συμβάλλειν τε τὴν ταχίςην, μηδὲ περιορᾷν συλλεγομένους ἔτι πλεῦνας γίνεσθαι[d] τῶν συλλεγομένων.

[c] τούτου μέν νυν ἡ αὐτὴ. d Vox γίνεσθαι, non eſt in MS.

τά τε σφάγια τὰ Ἡγησιςράτȣ ἐᾷν χαίρειν, μηδὲ βιάζεσθαι, ἀλλὰ νόμῳ τῷ Περσέων χρεωμένȣς συμβάλλειν.

μα'. Τȣ́τȣ δὲ ȣ̃τω δικαιεῦντος, ἀντέλεγε ȣ̓δεὶς, ὥςε ἐκράτεε τῇ γνώμῃ· τὸ γὰρ κράτος εἶχε τῆς ςρατιῆς ȣ̃τος ἐκ βασιλῆος, ἀλλ' ȣ̓κ Ἀρτάβαζος. μεταπεμψάμενος ὦν τȣ̀ς ταξιάρχȣς τῶν τελέων, καὶ τῶν μετ' ἑωϋτȣ̃ ἐόντων Ἑλλήνων τȣ̀ς ςρατηγȣ̀ς, ἠρώτα εἴτι εἰδοῖεν λόγιον περὶ Περσέων, ὡς διαφθερέονται ἐν τῇ Ἑλλάδι. σιγώντων δὲ τῶν ἐπικλήτων, τῶν μὲν ȣ̓κ εἰδότων τȣ̀ς χρησμȣ̀ς, τῶν δὲ, εἰδότων μὲν, ἐν ἀδείῃ δὲ ȣ̓ ποιευμένων τὸ λέγειν, αὐτὸς Μαρδόνιος ἔλεγε, ‘ Ἐπεὶ τοίνυν ὑμεῖς ἢ ἴςε ȣ̓δὲν, ‘ ἢ ȣ̓ τολμᾶτε λέγειν, ἀλλ' ἐγὼ ἐρέω ‘ ὡς εὖ ἐπιςάμενος. ἔςι λόγιον ὡς χρεὼν ‘ ἐςι Πέρσας ἀπικομένȣς ἐς τὴν Ἑλλάδα, διαρπάσαι τὸ ἱρὸν τὸ ἐν Δελφοῖσι, ‘ μετὰ δὲ τὴν διαρπαγὴν ἀπολέσθαι

erant cogerentur: Hegesiſtrati vero auſpicia valere ſinere, nec eis vim afferre: quinimo Perſarum more ſervato confligere.

41. Mardonio ita opus facto eſſe cenſenti nemo contradicebat. qui, ubi ſententia ſua vicit, ſicut penes eum erat ſumma imperii, non penes Artabazum, accitis cohortium praefectis et qui ſecum erant ducibus Graecorum, eos percontabatur, num aliquod oraculum ſcirent de Perſis tanquam perituris in Graecia. Silentibus illis quos advocaverat, partim quod ignorarent oracula, partim quod haud tutum putarent proferre quod ſcirent, inquit ipſe Mardonius, ‘ Quoniam ‘ vos aut nihil noſtis, aut promere non ‘ audetis, ego rem proferam, utpote bene ‘ cognitam habens. Eſt oraculum, Perſis ‘ fatale eſſe, ut in Graeciam profecti di‘ ripiant templum quod Delphis eſt, ut‘ que direpto templo omnes intereant.

'Quocirca, quum hoc sciamus, neque 'adibimus templum istud, neque diri- 'pere conabimur, ob hanc caussam in- 'teritum devitaturi. quo nomine quicun- 'que vestrûm bene Persis volunt, volup- 'tatem capiant, tanquam nobis Graecos 'superaturis.' Haec loquutus, secundo loco signum dedit, ut omnia appararent, et bene dispofita haberent, veluti sub lucis exortu proelio futuro.

42. Oraculum autem, quod ad Persas ajebat spectare Mardonius, id ego scio non Persis redditum esse, sed Illyriis et Encheleum copiis. Ab Bacide autem de hoc proelio ista edita sunt,

Gramineis ripis Asopi ac Thermodontis
Barbaricae Graiis acies clamore coibunt;
Hic multi occumbent defuncti munere vitae,
Quando sagittiferis aderit lux ultima Medis.

Haec ego atque alia his similia e Musaeo novi ad Persas spectavisse. Fluvius autem

'πάντας. ἡμεῖς τοίνυν αὐτὸ τοῦτο ἐπι-
'στάμενοι οὔτοι τε ἴμεν ἐπὶ τὸ ἱρὸν τοῦτο,
'οὔτε ἐπιχειρήσομεν διαρπάζειν· ταύτης
'τε εἵνεκα τῆς αἰτίης οὐκ ἀπολεόμεθα.
'ὥστε ὑμέων ὅσοι τυγχάνουσι εὔνοοι ἐόντες
'Πέρσῃσι, ἥδεσθε τοῦδε εἵνεκα, ὡς περιε-
'σομένους ἡμέας Ἑλλήνων.' ταῦτά σφι
εἴπας, δεύτερα ἐσήμαινε παραρτέεσθαί
τε πάντα, καὶ εὐκρινέα ποιέεσθαι, ὡς ἅμα
ἡμέρῃ τῇ ἐπιούσῃ συμβολῆς ἐσομένης.

μϐʹ. Τοῦτον δ' ἔγωγε τὸν χρησμὸν
τὸν Μαρδόνιος εἶπε ἐς Πέρσας ἔχειν, ἐς
Ἰλλυριούς τε καὶ τὸν Ἐγχέλεων στρατὸν
οἶδα πεποιημένον, ἀλλ' οὐκ ἐς Πέρσας.
ἀλλὰ τὰ μὲν Βάκιδί ἐστι ἐς ταύτην τὴν
μάχην πεποιημένα,

Τὴν δ' ἐπὶ Θερμώδοντι καὶ Ἀσωπῷ λεχεποίῃ
Ἑλλήνων σύνοδον, καὶ βαρβαρόφωνον ἰϋγὴν,
Τῇ πολλοὶ πεσέονται, ὑπὲρ λάχεσίν τε μόρον τε,
Τοξοφόρων Μήδων ὅταν αἴσιμον ἦμαρ ἐπέλθῃ.

ταῦτα μὲν καὶ παραπλήσια τούτοισι ἄλλα
Μουσαίῳ ἔχοντα οἶδα ἐς Πέρσας. ὁ δὲ

Θερμώδων ποταμὸς ῥέει μεταξὺ Τανάγρης τε καὶ Γλίσαντος.

μγ'. Μετὰ δὲ τὴν ἐπειρώτησιν τῶν χρησμῶν, κ̣ παραίνεσιν τὴν ἐκ Μαρδονίου, νύξ τε ἐγίνετο, κ̣ ἐς Φυλακὰς ἐτάσσοντο. ὡς δὲ πρόσω τῆς νυκτὸς προελήλατο, καὶ ἡσυχίη ἐδόκεε εἶναι ἀνὰ τὰ στρατόπεδα, καὶ μάλιστα οἱ ἄνθρωποι εἶναι ἐν ὕπνῳ, τηνικαῦτα προσελάσας ἵππῳ πρὸς τὰς Φυλακὰς τῶν Αθηναίων Αλέξανδρος ὁ Αμύντεω, στρατηγός τε ἐὼν καὶ βασιλεὺς Μακεδόνων, ἐδίζητο τοῖσι στρατηγοῖσι ἐς λόγους ἐλθεῖν. τῶν δὲ Φυλάκων οἱ μὲν πλεῦνες παρέμενον, οἱ δ' ἔθεον ἐπὶ τοὺς στρατηγούς. ἐλθόντες δὲ ἔλεγον ὡς ἄνθρωπος ἥκει ἐπ' ἵππου ἐκ τοῦ στρατοπέδου τῶν Μήδων· ὃς ἄλλο μὲν οὐδὲν παραγυμνοῖ ἔπος, στρατηγοὺς δὲ ὀνομάζων, ἐθέλειν Φησὶ ἐς λόγους ἐλθεῖν.

μδ'. Οἱ δὲ ἐπεὶ ταῦτα ἤκουσαν, αὐτίκα ἕποντο ἐς τὰς Φυλακάς. ἀπικομέ-

Thermodon Tanagram ac Glifantem interfluit.

43. Poftquam Mardonius de oraculis interrogavit, exhortatufque fuos eft, excubiae difpofitae fuere. Ejus noctis quum multum proceffiffet, conticiniumque in exercitu effet et tempus maxime concubium, tunc Alexander Amyntae filius, dux et idem rex Macedonum, ad excubias Athenienfium adequitavit, efflagitavitque ut cum ducibus colloqueretur. Id audientes excubitores, plerique quidem remanferunt, nonnulli ad duces concurrerunt: quibus aditis inquiunt quendam equo advehere e caftris Medorum: qui nihil aliud proloqueretur, nifi nominatim appellans duces, velle fe in colloquium illorum venire.

44. Duces, hoc audito, confeftim ad locum excubiarum fequuti funt. quos

Alexander ubi venere, his verbis alloquutus est, 'Viri Athenienses, haec ego 'vobis verba pro deposito trado arcana, 'ne cui efferatis nisi Pausaniae: ne ob id 'me perditum eatis. Quae haudquaquam 'dicerem, nisi de universa Graecia solli'citus essem: quippe qui vetusta origine 'Graecus sum, nec vellem videre Grae'ciam pro libera servam. Itaque vos 'certiores facio, Mardonium atque exer'citum litare non posse; alioqui olim jam 'confligeretis. Is nunc sacrificia valere 'finere constituit, et ubi primum illuxe'rit, vobiscum confligere: extimescens 'admodum (quantum ego conjicio) ne 'plures ad copias vestras accedant. Ad 'haec vos parati estote. Quod si diffe'ret Mardonius, nec committet certamen, 'vos perseverate hîc manere: ad paucos 'enim dies eis suppeditat commeatus.

νοισι δὲ ἔλεγε Ἀλέξανδρος τάδε, ‘ Ἄνδρες
‘ Ἀθηναῖοι, παραθήκην ὑμῖν τὰ ἔπεα τάδε
‘ τίθεμαι, ἀπόῤῥητα ποιεύμενος πρὸς μη-
‘ δένα λέγειν ὑμέας ἄλλον ἢ Παυσανίην,
‘ μή με καὶ διαφθείρητε[e]· οὐδὲ γὰρ ἂν ἔλε-
‘ γον, εἰ μὴ μεγάλως ἐκηδόμην συναπά-
‘ σης τῆς Ἑλλάδος. αὐτός τε γὰρ Ἕλ-
‘ λην γένεος εἰμὶ τὠρχαῖον, καὶ ἀντ' ἐλευ-
‘ θέρης δεδουλωμένην οὐκ ἂν ἐθέλοιμι ὁρᾷν
‘ τὴν Ἑλλάδα. λέγω δὲ ὦν ὅτι Μαρδο-
‘ νίῳ τε καὶ τῇ στρατιῇ τὰ σφάγια οὐ δύνα-
‘ ται καταθύμια γενέσθαι· πάλαι γὰρ
‘ ἂν ἐμάχεσθε· νῦν δέ οἱ δέδοκται, τὰ
‘ μὲν σφάγια ἐᾷν χαίρειν, ἅμ' ἡμέρῃ δὲ
‘ διαφαυσκούσῃ συμβολὴν ποιέεσθαι. κα-
‘ ταῤῥώδηκε γὰρ μὴ πλεῦνες συλλεχθῆ-
‘ τε[f], ὡς ἐγὼ εἰκάζω. πρὸς ταῦτα ἑτοι-
‘ μάζεσθε. ἢν δὲ ἄρα ὑπερβάληται τὴν
‘ συμβολὴν Μαρδόνιος, καὶ μὴ ποιῆται,
‘ λιπαρέετε μένοντες. ὀλίγων γάρ σφι
‘ ἡμερέων λείπεται σιτία. ἢν δὲ ὑμῖν ὁ

[e] μή με διαφθήρητε. [f] συναχθῆτε.

‘ πόλεμος ὅδε κατὰ νόον τελευτήσῃ, μνη-
‘ σθῆναί τινα χρὴ καὶ ἐμεῦ ἐλευθερώσιος
‘ πέρι, ὃς Ἑλλήνων εἵνεκα οὕτω ἔργον
‘ παράβολον[g] ἔργασμαι ὑπὸ προθυμίης,
‘ ἐθέλων ὑμῖν δηλῶσαι τὴν διάνοιαν τὴν
‘ Μαρδονίου, ἵνα μὴ ἐπιπέσωσι ὑμῖν ἐξαίφ-
‘ νης οἱ βάρβαροι μὴ προσδεκομένοισί κω.
‘ εἰμὶ δὲ Ἀλέξανδρος ὁ Μακεδών.’ ὁ μὲν,
ταῦτα εἴπας, ἀπήλαυνε ὀπίσω ἐς τὸ
στρατόπεδον καὶ τὴν ἑωϋτοῦ τάξιν.

με΄. Οἱ δὲ στρατηγοὶ τῶν Ἀθηναίων, ἐλθόντες ἐπὶ τὸ δεξιὸν κέρας, ἔλεγον Παυσανίῃ τάπερ ἤκουσαν Ἀλεξάνδρου. ὁ δὲ, τούτῳ τῷ λόγῳ καταῤῥωδήσας τοὺς Πέρσας, ἔλεγε τάδε, ‘ Ἐπεὶ τοίνυν ἐς ἠῶ ἡ
‘ συμβολὴ γίνεται, ὑμέας μὲν χρεών ἐστι
‘ τοὺς Ἀθηναίους στῆναι κατὰ τοὺς Πέρσας·
‘ ἡμέας δὲ κατὰ τοὺς Βοιωτούς τε καὶ τοὺς
‘ κατ’ ὑμέας τεταγμένους Ἑλλήνων, τῶν-
‘ δε εἵνεκεν· ὑμεῖς ἐπίστασθε τοὺς Μήδους
‘ καὶ τὴν μάχην αὐτέων, ἐν Μαραθῶνι[h]

g ἕνεκα τοῦτο τὸ ἔργον οὕτω παράβολον. h αὐτέων, ἐπὶ Μαραθῶνι.

'Quod si hoc bellum vobis ex sententia 'finietur, decebit etiam aliquem recor- 'dari meae liberationis, qui Graecorum 'caussa rem adeo periculosam, libenter 'tamen feci, ut ad vos consilium Mar- 'donii deferrem; ne barbari ex improviso 'vos non exspectantes adorirentur. Ego 'autem sum Alexander Macedo.' Haec loquutus Alexander, ad exercitum se recepit ad suamque stationem.

45. Duces Atheniensium ad cornu dextrum profecti, quae ab Alexandro audierant Pausaniae retulere. Hoc sermone Pausanias in metum Persarum adductus, 'Quoniam igitur, inquit, sub au- 'roram proelium fiet, necesse est vos A- 'thenienses stare in acie adversus Persas; 'nos autem contra Boeotos et vobis op- 'positos Graecos, ideo quod Medos cog- 'noscitis et pugnam eorum, ut qui in

'Marathone pugnaveritis: nos vero eorum fumus inexperti atque ignari; nemo enim Spartiata fecit periculum Medorum, fed Boeotos et Theffalos fumus experti. Itaque opus eft fumptis armis vos in hoc, nos in finiftrum cornu tranfire. Ad haec ita refponderunt Athenienfes, 'Nobis quoque olim jam inde ab initio, pofteaquam afpeximus Perfas adverfus vos effe collocatos, fuit in animo iftud dicere quod vos dicere occupaftis: fed verebamur ne non grata effet vobis oratio. nunc quandoquidem ipfi feciftis hujus rei mentionem, et vobis jucunda oratio eft, etiam parati fumus iftud exequi.'

46. Ubi hoc utrifque placitum eft, fimul aurora illuxit, fimul loca permutaverunt; rem vero advertentes Boeoti, ad Mardonium detulerunt. Ea audita Mar-

‘ μαχεσάμενοι· ἡμεῖς δὲ ἄπειροί τε εἰμὲν ‘ κ̀ ἀδαέες τουτέων τῶν ἀνδρῶν. Σπαρτιη- ‘ τέων γὰρ οὐδεὶς πεπείρηται Μήδων. ἡ- ‘ μεῖς δὲ Βοιωτῶν κ̀ Θεσσαλῶν ἔμπειροι ‘ εἰμέν. ἀλλ’ ἀναλαβόντας τὰ ὅπλα χρε- ‘ ών ἐστι ἰέναι ὑμέας μὲν ἐς τόδε τὸ κέρας, ‘ ἡμέας δὲ ἐς τὸ εὐώνυμον.’ πρὸς δὲ ταῦ- τα εἶπαν οἱ Ἀθηναῖοι τάδε, ‘ Καὶ αὐτοῖσι ‘ ἡμῖν πάλαι ἀπ’ ἀρχῆς, ἐπεί τε εἴδομεν ‘ κατ’ ὑμέας τασσομένους τοὺς Πέρσας, ‘ ἐν νόῳ ἐγένετο εἶπαι ταῦτα τάπερ ὑ- ‘ μεῖς φθάντες προφέρετε· ἀλλὰ ἀῤῥω- ‘ δέομεν μὴ ὑμῖν οὐκ ἡδέες γένωνται οἱ λό- ‘ γοι. ἐπεὶ δ’ ὦν αὐτοὶ ἐμνήσθητε, καὶ ‘ ἡδομένοισι ὑμῖν οἱ λόγοι γεγόνασι, καὶ ‘ ἑτοῖμοι εἰμὲν ποιέειν ταῦτα.’

μϛ΄. Ὡς δ’ ἤρεσκε ἀμφοτέροισι ταῦ- τα, ἠώς τε διέφαινε, κ̀ διαλλάσσοντο τὰς τάξις. γνόντες δὲ οἱ Βοιωτοὶ τὸ ποιεύμε- νον, ἐξαγορεύουσι Μαρδονίῳ. ὁ δ’ ἐπεί τε ἤκουσε, αὐτίκα μετιστάναι κ̀ αὐτὸς ἐπει-

ρᾶτο, παράγων τοὺς Πέρσας κατὰ τοὺς Λακεδαιμονίους. ὡς δὲ ἔμαθε τοῦτο τοιοῦτο γενόμενον ὁ Παυσανίης, γνοὺς ὅτι οὐ λανθάνει, ὀπίσω ἦγε τοὺς Σπαρτιήτας ἐπὶ τὸ δεξιὸν κέρας· ὡς δ' αὔτως καὶ ὁ Μαρδόνιος ἐπὶ τοῦ εὐωνύμου.

μζ'. Ἐπεὶ δὲ κατέστησαν ἐς τὰς ἀρχαίας τάξις, πέμψας ὁ Μαρδόνιος κήρυκα ἐς τοὺς Σπαρτιήτας, ἔλεγε τάδε, 'Ω 'Λακεδαιμόνιοι, ὑμεῖς δὴ λέγεσθε εἶναι 'ἄνδρες ἄριστοι ὑπὸ τῶν τῇδε ἀνθρώπων, 'ἐκπαγλεομένων ὡς οὔτε φεύγετε ἐκ πο-'λέμου, οὔτε τάξιν ἐκλείπετε· μένοντές 'τε ἢ ἀπόλλυτε τοὺς ἐναντίους, ἢ αὐτοὶ 'ἀπόλλυσθε. τῶν δ' ἄρ' ἦν οὐδὲν ἀληθές. 'πρὶν γὰρ ἢ συμμῖξαι ἡμέας, ἐς χειρῶν 'τε νόμον ἀπικέσθαι, καὶ δὴ φεύγοντας καὶ 'στάσιν ἐκλείποντας ὑμέας εἴδομεν· ἐν Ἀ-'θηναίοισί τε τὴν πρόπειραν ποιευμένους, 'αὐτούς τε ἀντία δούλων τῶν ἡμετέρων 'τασσομένους. ταῦτα οὐδαμῶς[a] ἀνδρῶν ἀ-

[a] ταῦτα δὲ οὐδαμῶς.

donius extemplo et ipſe conatus eſt Perſas contra Lacedaemonios obducere. Pauſanias autem hoc fieri intelligens, nec latere factum ſuum, rurſus in dextrum cornu Spartiatas reducit; ſimiliter etiam Mardonius ſuos in ſiniſtrum.

47. Poſtquam acies priſtino in loco ſtetere, idem miſſo caduceatore ad Spartiatas ita inquit, 'Lacedaemonii, vos vero 'ab his gentibus mire celebramini eſſe 'praeſtantiſſimi, qui neque e bello fugiatis, neque ordines deſeratis, ſed perſtantes aut interficiatis hoſtes, aut ipſi 'occumbatis. Horum nihil admodum 'veri eſt. quippe antequam congreſſi 'eſſemus et manus confererentur, vos 'cernimus fugientes, locumque deſerentes, et delegato Athenienſibus experiendi principio, conſiſtentes ex adverſo 'noſtrorum ſervorum: quod neutiquam 'eſt factum praeſtantium virorum. Ex

'quo plurimum de vobis nos fefellit
'opinio, quos expectabamus pro gloria
'miffuros caduceatorem ad nos, quo pro-
'vocaretis, quod cum folis Perfis, tan-
'quam ad id parati, pugnare velletis. At
'nihil tale invenimus vos dicere, fed po-
'tius effe perterritos. Nunc igitur quo-
'niam vos non incepiftis hoc dicere, fed
'nos incipimus, quidni vos pro Graecis
'quia praeftantiffimi effe exiftimamini,
'et nos pro barbaris, dimicavimus toti-
'dem utrique numero? et, fi videatur ut
'ceteri quoque itidem, et illi poftmodum
'pugnent: fin hoc non videatur, fed fatis
'effe nos folos, nos fane decernamus, et
'utri e nobis vicerint, ii totum exercitum
'viciffe cenfeantur.'

48. Haec fatus caduceator, quum aliquamdiu exfpectaffet, nemine quippiam refpondente, retro abiit, et rem Mar-

‘ γαθῶν ἔργα· ἀλλὰ πλεῖστον δὴ ἐν ὑμῖν ‘ ἐψεύσθημεν. προσδεκόμενοι γὰρ κατὰ ‘ κλέος, ὡς δὴ πέμψετε ἐς ἡμέας κήρυκα ‘ προκαλεύμενοι, καὶ βουλόμενοι μούνοισι ‘ Πέρσῃσι[b] μάχεσθαι, ἄρτιοι ἐόντες ποιέ- ‘ ειν ταῦτα· οὐδὲν τοιοῦτο λέγοντας ὑμέας ‘ εὕρομεν, ἀλλὰ πτώσσοντας μᾶλλον. νῦν ‘ ὦν ἐπειδὴ οὐκ ὑμεῖς ἤρξατε τούτου τοῦ λό- ‘ γου, ἀλλ’ ἡμεῖς ἄρχομεν, τί δὴ οὐ πρὸ ‘ μὲν τῶν Ἑλλήνων ὑμεῖς, ἐπεί τε δεδό- ‘ ξωσθε εἶναι ἄριστοι, πρὸ δὲ τῶν βαρβάρων ‘ ἡμεῖς, ἴσοι πρὸς ἴσους ἀριθμὸν ἐμαχεσά- ‘ μεθα; καὶ ἢν μὲν δοκέοι[c] καὶ τοὺς ἄλλους ‘ μάχεσθαι, οἱ δ’ ὦν μετέπειτα μαχέσθων ‘ ὕστεροι. εἰ δὲ καὶ μὴ δοκέοι, ἀλλ’ ἡμέας ‘ μούνους ἀποχρᾶν, ἡμεῖς δὲ διαμαχεσόμε- ‘ θα. ὁκότεροι δ’ ἂν ἡμέων νικήσωσι, τού- ‘ τους τῷ ἅπαντι στρατοπέδῳ νικᾶν.’

μη΄. Ὁ μὲν, ταῦτα εἴπας τε, καὶ ἐπι- σχὼν χρόνον, ὥς οἱ οὐδεὶς οὐδὲν ὑπεκρίνατο, ἀπαλλάσσετο ὀπίσω. ἀπελθὼν δὲ ἐσή-

[b] μοῦνοι Πέρσῃσι. [c] δοκέῃ bis.

μαινε Μαρδονίῳ τὰ καταλαβόντα. ὁ δὲ, περιχαρὴς γενόμενος, καὶ ἐπαρθεὶς ψυχρῇ νίκῃ, ἐπῆκε τὴν ἵππον ἐπὶ τοὺς Ἕλληνας. ὡς δὲ ἐπήλασαν οἱ ἱππόται, ἐσίνοντο πᾶσαν τὴν στρατιὴν τὴν Ἑλληνικὴν, ἐσακοντίζοντές τε καὶ τοξεύοντες, ὥστε ἱπποτοξόται τε ἐόντες, καὶ προσφέρεσθαι ἄποροι[d]. τήν τε κρήνην τὴν Γαργαφίην, ἀπ' ἧς ὑδρεύετο πᾶν τὸ στράτευμα τὸ Ἑλληνικὸν, συνετάραξαν καὶ συνέχωσαν. ἔσαν μὲν ὦν κατὰ τὴν κρήνην Λακεδαιμόνιοι μοῦνοι τεταγμένοι· τοῖσι δὲ ἄλλοισι Ἕλλησι ἡ μὲν κρήνη πρόσω ἐγένετο, ὡς ἕκαστοι ἔτυχον τεταγμένοι, ὁ δὲ Ἀσωπὸς, ἀγχοῦ. ἐρυκόμενοι δὲ ἀπὸ τοῦ Ἀσωποῦ, οὕτω δὴ ἐπὶ τὴν κρήνην ἐφοίτεον. ἀπὸ τοῦ ποταμοῦ γάρ σφι οὐκ ἐξῆν ὕδωρ φορέεσθαι, ὑπό τε τῶν ἱππέων καὶ τοξευμάτων.

μθ'. Τούτου δὲ τοιούτου γινομένου, οἱ τῶν Ἑλλήνων στρατηγοὶ, ἅτε τοῦ τε ὕδατος στερηθείσης τῆς στρατιῆς, καὶ ὑπὸ τῆς ἵππου

h προσφέρεσθαι εὔποροι.

donio retulit. Ille majorem in modum laetatus, et frigida victoria elatus, equitatum in Graecos immisit. Equites illuc invecti, omnem Graecum exercitum pervexabant, jaculis sagittisque incessentes; quippe equites sagittarii, et accessu ad cominus pugnandum difficiles. Itaque fontem Gargaphien, unde cunctus Graecorum aquabatur exercitus, conturbarunt obstruxeruntque. Eum juxta fontem soli Lacedaemonii ordinati erant; ceteri Graeci, ut quique locum nacti erant, procul aberant, Asopus autem in propinquo: sed aquari ex eo ab equitibus missilibusque prohibiti, ita ad fontem pergebant.

49. Haec quum talia forent, duces Graecorum, quippe aqua exercitu carente, et perturbato ab equitatu, tum his,

tum aliis de caussis frequentes ad Pausaniam in dextrum cornu veniunt. Qui, etsi talis esset rerum status, tamen magis angebatur, quod jam re frumentaria deficiebantur, et illorum servi in Peloponnesum missi frumentatum, intercluderentur ab equitatu quominus ad castra reverterentur.

50. De hoc autem deliberantibus ducibus visum est, si Persae eo die supersederent committere proelium, esse eundum in insulam quae ab Asopo et a fonte Gargaphie, ubi tunc castra habebant, decem stadiis aberat, ante oppidum Plataeense; ita ut insula sit in continente, hunc in modum: Fluvius superne e Cithaerone delabens in campum, divortia facit; intercapedine trium ferme stadiorum sua fluenta separans, et post commiscet in unum. Nomen est Oëroë; quam Asopi

ταρασσομένης, συνελέχθησαν περὶ αὐτέων τε τούτων καὶ ἄλλων, ἐλθόντες παρὰ Παυσανίαν ἐπὶ τὸ[e] δεξιὸν κέρας. ἀλλὰ γὰρ τούτων τοιούτων ἐόντων, μᾶλλόν σφεας ἐλύπεε. ὅτε γὰρ σιτία εἶχον ἔτι, οἵ τέ σφεων ὀπέωνες, ἀποπεμφθέντες ἐς Πελοπόννησον ὡς ἐπισιτιεύμενοι, ἀπεκεκλέατο[f] ὑπὸ τῆς ἵππου, οὐ δυνάμενοι ἀπικέσθαι ἐς τὸ στρατόπεδον.

ν'. Βουλευομένοισι δὲ τοῖσι στρατη[γοῖσ]ι ἔδοξε, ἢν ὑπερβάλωνται κείνην τὴν ἡμ[έρη]ν οἱ Πέρσαι συμβολὴν ποιεύμενοι, ἐς τὴν νῆσον ἰέναι. ἡ δέ ἐστι ἀπὸ τοῦ Ἀσωποῦ καὶ τῆς κρήνης τῆς Γαργαφίης, ἐς τὴν ἐστρατοπεδεύοντο τότε, δέκα σταδίους ἀπέχουσα, πρὸ τῆς Πλαταιέων πόλιος. νῆσος δὲ οὕτω ἂν εἴη ἐν ἠπείρῳ· σχιζόμενος ὁ ποταμὸς ἄνωθεν ἐκ τοῦ Κιθαιρῶνος, ῥέει κάτω ἐς τὸ πεδίον, διέχων ἀπ' ἀλλήλων τὰ ῥέεθρα ὅσονπερ τρία στάδια· καὶ ἔπειτα συμμίσγει ἐς τὠυτό. οὔνομα δέ οἱ Ὠερόη. θ[υ]γα

e παρὰ τὸ. f ἀποκεκλεῖατο.

τέρα δὲ ταύτην λέγουσι εἶναι Ασωπῦ οἱ ἐπιχώριοι. ἐς τοῦτον δὴ τὸν χῶρον ἐϐουλεύσαντο μεταναστῆναι, ἵνα καὶ ὕδατι ἔχωσι χρᾶσθαι ἀφθόνῳ, καὶ οἱ ἱππέες σφέας μὴ σινοίατο, ὥσπερ κατιθὺ ἐόντων. μετακινέεσθαί τε ἐδόκεε τότε, ἐπεὰν τῆς νυκτὸς ἡ δευτέρη φυλακὴ, ὡς ἂν μὴ ἰδοίατο οἱ Πέρσαι ἐξορμεωμένους, καί σφεας ἑπόμενοι ταράσσοιεν οἱ ἱππόται. ἀπικομένων δὲ ἐς τὸν χῶρον τοῦτον, τὸν δὴ ἡ Ασωπὶς Ωερόη περισχίζεται, ῥέουσα ἐκ τοῦ Κιθαιρῶνος, ὑπὸ τὴν νύκτα ταύτην ἐδόκεε τοὺς ἡμίσεας ἀποστέλλειν τοῦ στρατοπέδου πρὸς τὸν Κιθαιρῶνα, ὡς ἀναλάϐοιεν τοὺς ὀπέωνας ἐπὶ τὰ σιτία οἰχομένους. ἔσαν γὰρ ἐν τῷ Κιθαιρῶνι ἀπολελαμμένοι.

να΄. Ταῦτα βουλευσάμενοι, κείνην μὲν τὴν ἡμέρην πᾶσαν προσκειμένης τῆς ἵππου, ἔχον πόνον ἄτρυτον· ὡς δὲ ἥ τε ἡμέρη ἔληγε, καὶ οἱ ἱππέες ἐπέπαυντο, νυκτὸς δὴ γινομένης, καὶ ἐούσης τῆς ὥρης ἐς τὴν συνέκει-

filiam esse indigenae ajunt. In hunc locum Graeci transire decreverunt, ut et affatim aquae ad usum haberent, neque ab equitatu, sicuti quum ex adverso erant, infestarentur. Et decreverant transire secunda noctis vigilia, ne ipsos proficiscentes conspicati Persae, insequente equitatu in tumultum venirent. quinetiam quum ad eum locum ventum esset, ubi Asopi filia Oëroë divortio aquarum e Cithaerone cingitur, mitterent sub noctem istam dimidium copiarum in Cithaeronem ad recipienda servitia quae frumentatum concesserant. erant enim illa in Cithaerone interclusa.

51. Haec ubi statuerunt, totum illum diem incessente equitatu immensum laborem pertulerunt. Sub abitum diei digressis equitibus ea noctis hora qua de abeundo convenerat, plerique sublatis

utenſilibus abſceſſerunt, non habentes in animo locum qui convenerat petere. immo illi, ut moveri coeptum eſt, cupide equitatum effugerunt ad urbem Plataeenſem, in templumque Junonis fugiendo perveniunt, quod ſitum eſt ante urbem, a fonte Gargaphie viginti ſtadiis diſtans. Quo ubi pervenere, poſitis pro templo armis, circa templum ipſum caſtra poſuere.

52. Hos Pauſanias cernens ab exercitu digreſſos, praecepit et ipſe Lacedaemoniis, ut ſumptis armis irent quâ ceteri praecederent, ratus illos tendere ad locum conſtitutum. Ibi ad obtemperandum Pauſaniae ceteri praefecti parati quum eſſent, Amompharetus Poliadae filius tribunus cohortis Pitanatarum, negare ſe fugiturum peregrinos, neque ultro

τό σφι ἀπαλλάσσεσθαι, ἐνθαῦτα ἀερθέντες οἱ πολλοὶ ἀπαλλάσσοντο, ἐς μὲν τὸν χῶρον ἐς τὸν συνέκειτο, οὐκ ἐν νόῳ ἔχοντες· οἱ δὲ, ὡς ἐκινήθησαν, ἔφευγον ἄσμενοι τὴν ἵππον πρὸς τὴν Πλαταιέων πόλιν. φεύγοντες δὲ, ἀπικνέονται ἐπὶ τὸ Ἡραῖον. τὸ δὲ πρὸ τῆς πόλιός ἐστι τῆς Πλαταιέων, εἴκοσι σταδίους ἀπὸ τῆς κρήνης τῆς Γαργαφίης ἀπέχον. ἀπικόμενοι δὲ ἔθεντο πρὸ τοῦ ἱροῦ τὰ ὅπλα. καὶ οἱ μὲν περὶ τὸ Ἡραῖον ἐστρατοπεδεύοντο.

νβʹ. Παυσανίης δὲ, ὁρέων σφέας ἀπαλλασσομένους ἐκ τοῦ στρατοπέδου, παρήγγελε καὶ τοῖσι Λακεδαιμονίοισι, ἀναλαβόντας τὰ ὅπλα, ἰέναι κατὰ τοὺς ἄλλους τοὺς προϊόντας, νομίσας αὐτοὺς ἐς τὸν χῶρον ἰέναι ἐς τὸν συνεθήκαντο. ἐνθαῦτα οἱ μὲν ἄλλοι ἄρτιοι ἔσαν τῶν ταξιαρχέων πείθεσθαι Παυσανίῃ· Ἀμομφάρετος δὲ ὁ Πολιάδεω, λοχηγέων [h] τοῦ Πιτανητέων λόχου, οὐκ ἔφη τοὺς ξείνους φεύξεσθαι, οὐδὲ ἑκὼν εἶναι

h λοχηγετέων.

αἰσχυνέειν τὴν Σπάρτην· ἐθώυμαζέ τε ὁρέων τὸ ποιεύμενον, ἅτε ἐ παραγενόμενος τῷ προτέρῳ λόγῳ. ὁ δὲ Παυσανίης τε καὶ ὁ Εὐρυάναξ δεινὸν μὲν ἐποιεῦντο τὸ μὴ πείθεσθαι ἐκεῖνον σφίσι, δεινότερον δ' ἔτι, κείνε ταῦτ' ἀναινομένε, ἀπολιπεῖν τὸν λόχον τὸν Πιτανήτην, μὴ, ἢν ἀπολίπωσι ποιεῦντες τὰ συνεθήκαντο τοῖσι ἄλλοισι Ἕλλησι, ἀπόληται ὑπολειφθεὶς αὐτός τε Ἀμομφάρετος καὶ οἱ μετ' αὐτε. ταῦτα λογιζόμενοι, ἀτρέμας εἶχον τὸ στρατόπεδον τὸ Λακωνικὸν, καὶ ἐπειρῶντο πείθοντές μιν ὡς ἐ χρεὼν εἴη ταῦτα ποιέειν. καὶ οἱ μὲν παρηγόρεον Ἀμομφάρετον, μενον Λακεδαιμονίων τε καὶ Τεγεητέων λελειμμένον.

νγ'. Ἀθηναῖοι δὲ ἐποίευν τοιάδε· εἶχον ἀτρέμας σφέας αὐτοὺς ἵνα ἐτάχθησαν, ἐπιστάμενοι τὰ Λακεδαιμονίων φρονήματα, ὡς ἄλλα φρονεόντων καὶ ἄλλα λεγόντων. ὡς δὲ ἐκινήθη τὸ στρατόπεδον, ἔπεμ-

dedecoraturum esse Spartam: quinetiam mirari id quod fieri cerneret, quippe qui colloquio superiori non interfuisset. Pausanias autem et Euryanax cum indigne ferentes non parere sibi illum, tum indignius cohortem Pitanensem relictum iri tribuno repugnante: quod erat futurum, si ipsi eos missos facerent, gratia exequendi ea quae cum aliis Graecis constituissent, ut periret desertus Amompharetus et qui cum eo erant. hoc reputantes substiterunt cum Laconicis copiis, conabanturque persuadere homini non id facto opus esse. et alii quidem hortabantur Amompharetum solum ex Lacedaemoniis ac Tegeatis relictum.

53. Athenienses autem hoc sibi faciendum putarunt, ut ubi collocati erant, ibi tranquille sisterent, intelligentes Lacedaemoniorum ingenia aliud sentientium, aliud dicentium. Itaque ubi exerci-

tus movere coepit, equitem e ſuis miſerunt ſpeculatum nunquid Spartiatae tentarent abire, an vero abire prorſus in animo non haberent; ſciſcitatumque a Pauſania quidnam facere oporteret.

54. Nuncius ubi pervenit ad Lacedaemonios, cernit in loco inſtructos, eorumque primores deveniſſe ad rixas. Hortantibus enim Amompharetum Euryanacte et Pauſania, ne Lacedaemonii ſoli remanentes periclitarentur, necdum perſuadentibus, donec ventum eſt ad jurgia, intervenit nuncius Athenienſis, Amompharcto inter altercandum ſumente ambabus manibus ſaxum, et illud ante pedes Pauſaniae ponente, ac dicente, ſe illo calculo ſententiae ſuae calculum dare, non fugere peregrinos: appellans barbaros. Eum Pauſanias inſanum nec potentem mentis vocans, ad nuncium Atheni-

πον σφέων ἱππέα, ὀψόμενόν τε εἰ πορεύεσθαι ἐπιχειρέοιεν οἱ Σπαρτιῆται, εἴτε καὶ τοπαράπαν μὴ διανοεῦνται ἀπαλλάσσεσθαι· ἐπείρεσθαί τε Παυσανίην τὸ χρεὼν εἴη ποιέειν.

νδʹ. Ὡς δὲ ἀπίκετο ὁ κῆρυξ ἐς τοὺς Λακεδαιμονίους, ὥρα τέ σφεας κατὰ χώρην τεταγμένους, καὶ ἐς νείκεα ἀπιγμένους αὐτέων τοὺς πρώτους. ὡς γὰρ δὴ παρηγόρεον τὸν Αμομφάρετον ὅ,τε Εὐρυάναξ καὶ ὁ Παυσανίης, μὴ κινδυνεύειν μένοντας μούνους Λακεδαιμονίους, οὔκως ἔπειθον· ἐς ὃ ἐς νείκεά τε συμπεσόντες ἀπικέατο, καὶ ὁ κῆρυξ τῶν Αθηναίων παρίστατό σφι ἀπιγμένος. νεικέων δὲ ὁ Αμομφάρετος, λαμβάνει πέτρον ἀμφοτέρῃσι τῇσι χερσί· καὶ τιθεὶς πρὸ ποδῶν τῶν Παυσανίεω, ταύτῃ τῇ ψήφῳ ψηφίζεσθαι ἔφη, μὴ φεύγειν τοὺς ξείνους· λέγων τοὺς βαρβάρους. ὁ δὲ, μαινόμενον καὶ οὐ φρενήρεα καλέων ἐκεῖνον, πρός τε τὸν Αθηναίων κήρυκα ἐπειρω-

τῶντα τὰ ἐντεταλμένα, λέγειν ὁ Παυσανίης ἐκέλευε τὰ παρεόντα σφι πρήγματα· ἔχρηζέ τε τῶν Ἀθηναίων προσχωρῆσαί τε πρὸς ἑωϋτὸς, καὶ ποιέειν περὶ τῆς ἀπόδυ τάπερ ἂν καὶ σφεῖς.

νέ. Καὶ ὁ μὲν ἀπαλλάσσετο ἐς τὸς Ἀθηναίυς· τὸς δὲ ἐπεὶ ἀνακρινομένυς πρὸς ἑωϋτὸς ἠὼς κατελάμβανε, ἐν τύτῳ τῷ χρόνῳ κατήμενος ὁ Παυσανίης, ὐ δοκέων τὸν Ἀμομφάρετον λείψεσθαι, τῶν ἄλλων Λακεδαιμονίων ἀποστειχόντων (τὰ δὴ καὶ ἐγένετο) σημήνας ἀπῆγε διὰ τῶν κολωνῶν τὸς λοιπὸς πάντας· εἵποντο δὲ καὶ Τεγεῆται. Ἀθηναῖοι δὲ ταχθέντες ἤϊσαν τὰ ἔμπαλιν ἢ Λακεδαιμόνιοι. οἱ μὲν γὰρ τῶν τε ὄχθων ἀντείχοντο καὶ τῆς ὑπωρείης τῦ Κιθαιρῶνος, φοβεόμενοι τὴν ἵππον· Ἀθηναῖοι δὲ, κάτω τραφέντες ἐς τὸ πεδίον.

νστ'. Ἀμομφάρετος δὲ, ἀρχήν τε ὐδαμᾶ δοκέων Παυσανίην τολμήσειν σφέας ἀπο-

ensium, quae jussus erat percontantem, respondit ut illis referret praesentem rerum suarum statum, obsecrans eos ut ad sese venirent, et de discessu eadem quae ipsi agerent

55. Nuncio ad Athenienses reverso, hos inter se altercantes aurora deprehendit. Ad id tempus moratus Pausanias, ratus Amompharetum non deserturum alios Lacedaemonios discedentes, prout et contigit, dato signo ceteros omnes per edita abduxit, Tegeatis sequentibus; Athenienses vero servatis ordinibus in contrarium iverunt Lacedaemoniis; nam hi tenebant praerupta et Cithaeronis radicem metu equitatus, Athenienses vero deorsum ad campum deflexere.

56. Amompharetus autem prorsus non credens ausurum ipsos relinquere

Pausaniam, contendere, ut illic manentes non desererent ordinem. At ubi ii cum Pausania procedebant, tunc ratus ex bellicae artis jure illum deserere, sumptis armis cohortem lento gradu duxit ad reliquum agmen, quod decem circiter stadia digressum ad amnem Moloëntem, in loco qui dicitur Argiopius (ubi situm est templum Cereris Eleusiniae) substiterat, opperiens Amomphareti cohortem, eo consilio, ut si Amompharetus cum sua cohorte non discederet loco in quo instructa erat, sed in eo persisteret, retro ad hominem suppetias iret. Itaque et Amompharetus cum suis ad ceteros pervenit, et omnis barbarorum equitatus ingruebat, agens pro sua consuetudine. nam quum inspexissent locum, ubi superioribus diebus habuerant Graeci castra, vacuum, admissis equis assidue ulteriora petens, illos adeptus urgebat.

λιπεῖν, περιείχετο αὐτοῦ μένοντας μὴ ἐκλιπεῖν τὴν τάξιν· προτερεόντων δὲ τῶν σὺν Παυσανίῃ, καταδόξας αὐτοὺς ἰθείῃ τέχνῃ ἀπολιπεῖν αὐτὸν, ἀναλαβόντα τὸν λόχον τὰ[a] ὅπλα ἦγε βάδην πρὸς τὸ ἄλλο στῖφος. τὸ δὲ, ἀπελθὸν ὅσον τε δέκα στάδια, ἀνέμενε τὸν Ἀμομφαρέτου λόχον περὶ ποταμὸν Μολόεντα ἱδρυμένον, Ἀργιόπιόν τε χῶρον καλεόμενον, τῇ καὶ Δήμητρος Ἐλευσινίης ἱρὸν ἧσται. ἀνέμενε δὲ τοῦδε εἵνεκα, ἵνα ἢν μὴ ἀπολίπῃ τὸν χῶρον ἐν τῷ ἐτετάχατο ὁ Ἀμομφάρετός τε καὶ ὁ λόχος, ἀλλ᾽ αὐτοῦ μένωσι, βοηθέοι ὀπίσω παρ᾽ ἐκείνους. καὶ οἵ τε ἀμφὶ τὸν Ἀμομφάρετον παρεγένοντό σφι, καὶ ἡ ἵππος ἡ τῶν βαρβάρων προσεκέετο πᾶσα· οἱ γὰρ ἱππόται ἐποίευν οἷον καὶ ἐώθεσαν ποιέειν αἰεί. ἰδόντες δὲ τὸν χῶρον κεινὸν ἐν ᾧ ἐτετάχατο οἱ Ἕλληνες τῇσι προτέρῃσι ἡμέρῃσι, ἤλαυνον τοὺς ἵππους αἰεὶ τοπρόσω· καὶ ἅμα καταλαβόντες, προσεκέατό σφι.

[a] ἀναλαβόντα τά.

νζ΄. Μαρδόνιος δὲ, ὡς ἐπύθετο τὰς Ἕλληνας ἀποιχομένας ὑπὸ νύκτα, εἶδέ τε τὸν χῶρον ἐρῆμον, καλέσας τὸν Ληρισαῖον Θώρηκα, καὶ τὰς ἀδελφεὰς αὐτᾶ Εὐρύπυλον καὶ Θρασυδήϊον [b], ἔλεγε, ‘ Ὦ παῖδες Ἀλεύεω, ἔτι τί λέξετε τάδε ὁρέοντες ἐρῆμα; ὑμεῖς γὰρ οἱ πλησιόχωροι ἐλέγετε [c] Λακεδαιμονίας ὰ φεύγειν ἐκ μάχης, ἀλλὰ ἄνδρας εἶναι τὰ πολέμια πρώτας· τὰς πρότερόν τε μετισαμένας ἐκ τῆς τάξιος εἴδετε, νῦν τε ὑπὸ τὴν παροιχομένην νύκτα, καὶ οἱ πάντες ὁρέομεν διαδράντας. διέδεξάν τε, ἐπεί σφεας ἔδεε πρὸς τὰς ἀψευδέως ἀρίστας ἀνθρώπων μάχῃ διακριθῆναι, ὅτι ὰδένες ἄρα ἐόντες ἐν ὰδαμοῖσι ἐᾶσι Ἕλλησι ἐναπεδεικνύατο. καὶ ὑμῖν μὲν ἐᾶσι Περσέων ἀπείροισι, πολλὴ ἔκ γε ἐμεῦ ἐγίνετο συγγνώμη, ἐπαινεόντων τάτας, τοῖσί τι καὶ συνῄδεαται· Ἀρταβάζα δὲ θῶυμα καὶ μᾶλλον ἐποιεύμην, τὸ καὶ καταρ-

[b] Θρασύδιον. [c] λέγετε.

57. Mardonius quoque cognito Graecorum nocturno abitu, inspectoque loco deserto, accitis Thorace Larissaeo et fratribus ejus Eurypylo et Thrasydejo, inquit, 'Filii Aleuae, quidnam dicetis adhuc, quum haec deserta cernatis a Lacedaemoniis, quos negabatis vos finitimi ex acie fugere, sed viros summos esse in re bellica? quos et prius vidistis locum in acie immutare, et nunc proxima nocte se fuga proripuisse videmus omnes: ostenderuntque quia illos oportebat cum iis proelio decernere, qui non falso sunt hominum praestantissimi, nullius sese pretii, inter Graecos, et ipsos nullius pretii viros, demonstrari. Ceterum vobis Persarum inexpertis, sanequam facile ignoscebam, quum laudaretis istos in quibus aliquid etiam notum simul erat: Artabazum autem vehementius admirabar formidare Lace-

'daemonios, et prae formidine ſententiam dicere ignaviſſimam, expedire ex his caſtris nos in urbem Thebanorum concedere obſidendos. quam ſententiam ipſe rex ex me audiet. Sed de hoc alias dicetur. Nunc autem iſtis ita facientibus non eſt concedendum, ſed inſtandum, donec intercepti nobis dent poenas eorum omnium quae in Perſas perpetrarunt.'

58. Haec loquutus, Perſas Aſopo tranſmiſſo curſim ducit per veſtigia Graecorum, tanquam fugam capeſſentium; et in Lacedaemonios ac Tegeatas ſolos ingruebat. nam Athenienſes ſubter praerupta in planum digreſſos non cernebat. Ceteri autem barbarorum agminum praefecti Perſas moventes ad Graecos inſequendos conſpicati, ſublatis confeſtim et ipſi ſignis cuncti inſequuntur, pro ſe quiſque accelerantes, nulla diſciplina nullo-

‘ ῥώδησαι Λακεδαιμονίες· καταῤῥωδήσαν-
‘ τά τε, ἀποδέξαϲθαι γνώμην δειλοτά-
‘ την, ὡς χρεὼν εἴη ἀναζεύξαντας τὸ στρα-
‘ τόπεδον, ἰέναι ἐς τὸ Θηβαίων ἄστυ πο-
‘ λιορκησομένες· τὴν ἔτι πρὸς ἐμεῦ βασι-
‘ λεὺς πεύσεται. καὶ τετέων μὲν ἑτέρωθι
‘ ἔσται λόγος· νῦν δὲ ἐκείνοισι ταῦτα ποι-
‘ εῦσι ἐκ ἐπιτρεπτέα ἐστὶ, ἀλλὰ διωκτέοι
‘ εἰσί· ἐς ὃ καταλαμφθέντες, δώσεσι ἡμῖν
‘ τῶν δὴ ἐποίησαν[d] Πέρσας πάντων δίκας.’

νη'. Ταῦτα εἴπας, ἦγε τὲς Πέρσας, δρόμῳ διαβάντας Ασωπὸν κατὰ στίβον τῶν Ἑλλήνων, ὡς δὴ ἀποδιδρησκόντων· ἐπεῖχέ τε ἐπὶ Λακεδαιμονίες τε καὶ Τεγεήτας μένες. Αθηναίες γὰρ τραπομένες ἐς τὸ πεδίον, ὑπὸ τῶν ὄχθων ἐ κατώρα. Πέρσας δὲ ὁρέοντες ὡρμημένες διώκειν τοὺς Ἕλληνας οἱ λοιποὶ τῶν βαρβαρικῶν τελέων ἄρχοντες, αὐτίκα πάντες ἦραν τὰ σημήϊα, καὶ ἐδίωκον ὡς ποδῶν ἕκαστος εἶχον, ἔτε κόσμῳ ἐδενὶ κοσμηθέντες, ἔτε

[d] ἐποιήσαντο.

τάξι. καὶ οὗτοι μὲν βοῇ τε καὶ ὁμίλῳ ἐπήϊσαν, ὡς ἀναρπασόμενοι τοὺς Ἕλληνας·

νθʹ. Παυσανίης δὲ, ὡς προσέκειτο ἡ ἵππος, πέμψας πρὸς τοὺς Ἀθηναίους ἱππέα, λέγει τάδε, ‘ Ἄνδρες Ἀθηναῖοι, ἀγῶ‐ ‘ νος μεγίστου προκειμένου, ἐλευθέρην εἶναι ‘ ἢ δεδουλωμένην τὴν Ἑλλάδα, προδεδό‐ ‘ μεθα ὑπὸ τῶν συμμάχων ἡμεῖς τε οἱ ‘ Λακεδαιμόνιοι, καὶ ὑμεῖς οἱ Ἀθηναῖοι, ‘ ὑπὸ τὴν παροιχομένην νύκτα διαδράν‐ ‘ των. νῦν ὦν δέδοκται τοενθεῦτεν τὸ ποιη‐ ‘ τέον ἡμῖν· ἀμυνομένους γὰρ τῇ δυνάμεθα ‘ ἄριστα περιστέλλειν ἀλλήλους. εἰ μέν νυν ‘ ἐς ὑμέας ὥρμησε ἀρχὴν ἡ ἵππος, χρῆν ‘ δὴ ἡμέας τε καὶ τοὺς μετ' ἡμέας τὴν Ἑλ‐ ‘ λάδα οὐ προδιδόντας Τεγεήτας, βοηθέειν ‘ ὑμῖν· νῦν δὲ, ἐς ἡμέας γὰρ ἅπασα κε‐ ‘ χώρηκε, δίκαιοί ἐστε ὑμεῖς πρὸς τὴν πιε‐ ‘ ζομένην μάλιστα τῶν μοιρέων ἀμυνέοντες ‘ ἰέναι. εἰ δ' ἄρα αὐτοὺς ὑμέας καταλε‐

que compositi ordine. Et isti quidem cum vociferatione ac turba instabant Graecis, tanquam rapturi.

59. Pausanias autem, ubi equitatu premi coepit, equite ad Athenienses misso, haec dicit, 'Viri Athenienses, proposita dimicatione maxima, ut aut libera 'Graecia sit aut servituti obnoxia, prodimur a sociis nocte praeterita elapsis et 'nos Lacedaemonii et vos Athenienses. 'Inde igitur ita nobis visum est esse faciendum, ut quam strenuissime possumus defensantes, mutuo simus auxilio. 'Ac si quidem in vos prorsus impetum 'dedisset equitatus, oporteret sane nos, 'et qui post nos stant, Tegeatas Graeciam non prodentes, subsidio vobis venire: nunc, quoniam totus in nos contendit, justum est vos ad partem maxime laborantem suppetias ferre. Quod 'si vobis ipsis aliquo discrimine occupatis

'fas non eſt ſubſidio venire, ſaltem hoc 'gratificamini nobis, ut ſagittarios mit-'tatis: quos agnoſcimus longe omnium 'qui in hoc bello ſunt promptiſſimos 'eſſe ut etiam haec exaudiant.'

60. Haec ubi audiere Athenienſes, moverunt ad ferendam opem, et ſtrenuiſſime propugnandum. At hos jam incedentes ea pars Graecorum qui partes regias ſequebantur ex adverſo inſtructi, invadit, ut amplius auxilium ferre non poſſent; nam quod objiciebatur negotium, eos dolore afficiebat. Ita deſtituti Lacedaemonii, numero cum levi armatura quinquaginta millia, et Tegeatae numero tria millia (hi enim nuſquam ab Lacedaemoniis dirimebantur) ſacrificaverunt tanquam conflicturi cum Mardonio praeſentibuſque copiis: et quum litare non poſſent, multi eorum interea cade-

‘ λάβηκε ἀδύνατόν τι βοηθέειν, ὑμεῖς
‘ δ᾽ ἡμῖν τοὺς τοξότας ἀποπέμψαντες
‘ χάριν θέσθε· συνοίδαμεν δὲ ὑμῖν ὑπὸ
‘ τὸν παρεόντα τόνδε πόλεμον ἐοῦσι πολ-
‘ λὸν προθυμοτάτοισι, ὥστε καὶ ταῦτα
‘ ἐσακούειν.’

ξʹ. Ταῦτα οἱ Ἀθηναῖοι ὡς ἐπύθοντο, ὡρμέατο βοηθέειν, καὶ τὰ μάλιστα ἐπαμύνειν. καί σφι ἤδη στείχουσι ἐπιτίθενται οἱ ἀντιταχθέντες Ἑλλήνων τῶν μετὰ βασιλῆος γενομένων, ὥστε μηκέτι δύνασθαι βοηθῆσαι. τὸ γὰρ προκείμενον σφέας ἐλύπεε. οὕτω δὴ μουνωθέντες Λακεδαιμόνιοι καὶ Τεγεῆται, ἐόντες σὺν ψιλοῖσι ἀριθμὸν, οἱ μὲν, πεντακισμύριοι, Τεγεῆται δὲ, τρισχίλιοι· (οὗτοι γὰρ οὐδαμᾶ ἀπεσχίζοντο ἀπὸ Λακεδαιμονίων) ἐσφαγιάζοντο, ὡς συμβαλέοντες Μαρδονίῳ καὶ τῇ στρατιῇ τῇ παρεούσῃ. καὶ οὐ γάρ σφι ἐγίνετο τὰ σφάγια χρηστὰ, ἔπιπτον δὲ αὐτῶν ἐν τούτῳ τῷ χρόνῳ πολλοὶ, καὶ πολλῷ πλεῦ-

νες ἐτρωματίζοντο. Φράξαντες γὰρ τὰ γέῤῥα οἱ Πέρσαι, ἀπίεσαν τοξευμάτων πολλὰ ἀφειδέως ὅτω, ὥστε πιεζομένων τῶν Σπαρτιητέων, καὶ τῶν σφαγίων ὁ γινομένων, ἀποβλέψαντα τὸν Παυσανίην πρὸς τὸ Ἥραιον τὸ Πλαταιέων, ἐπικαλέσασθαι τὴν θεὸν, χρήζοντα μηδαμῶς σφεας ψευσθῆναι τῆς ἐλπίδος.

ξα'. Ταῦτα δ' ἔτι τούτου ἐπικαλευμένου, προεξαναστάντες πρότεροι οἱ Τεγεῆται ἐχώρεον ἐς τοὺς βαρβάρους. καὶ τοῖσι Λακεδαιμονίοισι αὐτίκα μετὰ τὴν εὐχὴν τὴν Παυσανίεω, ἐγίνετο θυομένοισι τὰ σφάγια χρηστά. ὡς δὲ χρόνῳ κοτὲ ἐγίνετο, ἐχώρεον καὶ οὗτοι ἐπὶ τοὺς Πέρσας, καὶ οἱ Πέρσαι ἀντίοι, τὰ τόξα μετέντες. ἐγίνετο δὲ πρῶτον περὶ τὰ γέῤῥα μάχη· ὡς δὲ ταῦτα ἐπεπτώκεε, ἤδη ἐγίνετο ἡ μάχη ἰσχυρὴ παρ' αὐτὸ τὸ Δημήτριον, καὶ χρόνον ἐπὶ πολλὸν, ἐς ὃ ἀπίκοντο ἐς ὠθισμόν. τὰ γὰρ δόρατα ἐπιλαμβανό-

bant, multo plures vulnerabantur. Confertis enim gerris Perſae ingentem vim ſagittarum emittebant, adeo inſtanter, ut laborantibus Spartiatis, et quia litare non poterant, reſpiciens ad templum Junonis Plataeenſium Pauſanias, imploraverit deam, obſecraveritque ne ſpes ſua ipſos fruſtraretur.

61. Adhuc eo deam his verbis invocante, Tegeatae prius exſurgentes in barbaros tendunt: ſtatimque poſt Pauſaniae preces ſacrificantibus Lacedaemoniis exta pulchra extitere: qui aliquanto poſt et ipſi in Perſas eunt. Perſae omiſſis arcubus ex adverſo ſtetere. Ad quorum gerra primum pugna commiſſa eſt; quae quum cecidiſſent, jam atrox pugna conſtitit juxta ipſum Cereris templum, eaque pertinax, donec ad propulſionem ventum eſt. Siquidem barbari prehenſantes lanceas con-

fringebant, nec audacia nec robore inferiores: sed inermes erant et praeterea imperiti, nec hostibus prudentia pares. qui etsi in singulos deni pluresve aut pauciores irruebant, tamen quia incidebant in Spartiatas, conficiebantur.

62. Mardonius, qua parte ipse ex equo albo ciens pugnam, mille delectis Persarum praestantissimis stipatus erat, ea maxime parte hostem urgebat. qui quamdiu superfuit, Persae resistentes seseque defensantes, stravere multos Lacedaemoniorum. Postea vero quàm Mardonius mortuus fuit, et agmen quod circa illum robustissimum erat occubuit, tum demum alii quoque terga vertentes cessere Lacedaemoniis; quippe eis plurimum officiebat vestis armis vacans: inermes

μενοι κατέκλων οἱ βάρβαροι. λήμματι μέν νυν καὶ ῥώμῃ οὐκ ἕσσονες ἔσαν οἱ Πέρσαι, ἄνοπλοι δὲ ἐόντες, καὶ πρὸς, ἀνεπιστήμονες ἔσαν, καὶ οὐκ ὁμοῖοι τοῖσι ἐναντίοισι σοφίην. προεξαΐσσοντες δὲ κατ' ἕνα, καὶ δέκα, καὶ πλεῦνές τε καὶ ἐλάσσονες συστρεφόμενοι, ἐσέπιπτον ἐς τοὺς Σπαρτιήτας, καὶ διεφθείροντο.

ξϛ'. Τῇ δὲ ἐτύγχανε αὐτὸς ἐὼν Μαρδόνιος, ἀπ' ἵππου τε μαχόμενος λευκοῦ, ἔχων τε περὶ ἑωϋτὸν λογάδας Περσέων τοὺς ἀρίστους χιλίους, ταύτῃ δὴ καὶ μάλιστα τοὺς ἐναντίους ἐπίεσαν. ὅσον μέν νυν χρόνον Μαρδόνιος περιῆν, οἵδε ἀντεῖχον, καὶ ἀμυνόμενοι κατεβάλλοντο πολλοὺς τῶν Λακεδαιμονίων· ὡς δὲ Μαρδόνιος ἀπέθανε, καὶ τὸ περὶ ἐκεῖνον τεταγμένον ἐὸν ἰσχυρότατον ἔπεσε, οὕτω δὴ καὶ οἱ ἄλλοι ἐτράποντο, καὶ εἶξαν τοῖσι Λακεδαιμονίοισι. πλεῖστον γάρ σφεας ἐδηλέετο ἡ ἐσθὴς ἐρῆμος ἐοῦσα ὅπλων. πρὸς γὰρ ὁπ-

λίτας ἐόντες γυμνῆτες ἀγῶνα ἐποιεῦντο.

ξγ'. Ενθαῦτα ἥ τε δίκη τȣ̃ φόνȣ τȣ̃ Λεωνίδεω, κατὰ τὸ χρηςήριον, τοῖσι Σπαρτιήτῃσι ἐκ Μαρδονίȣ ἐπετελέετο, ϗ νίκην ἀναιρέεται καλλίςην ἁπασέων τῶν ἡμεῖς ἴδμεν, Παυσανίης ὁ Κλεομβρότȣ τȣ̃ Αναξανδρίδεω. τῶν δὲ κατύπερθέ οἱ προγόνων τὰ ȣ̓νόματα εἴρηται ἐς Λεωνίδην· ὡὐτοὶ γάρ σφι τυγχάνȣσι ἐόντες. ἀποθνήσκει δὲ Μαρδόνιος ὑπὸ Αειμνήςȣ, ἀνδρὸς ἐν Σπάρτῃ λογίμȣ· ὃς χρόνῳ ὕςερον μετὰ τὰ Μηδικά, ἔχων ἄνδρας τριηκοσίȣς, συνέβαλε ἐν Στενυκλήρῳ, πολέμȣ ἐόντος, Μεσσηνίοισί τε πᾶσι· καὶ αὐτός τε ἀπέθανε ϗ οἱ τριηκόσιοι.

ξδ'. Εν δὲ Πλαταιῇσι οἱ Πέρσαι ὡς ἐτράποντο [e] ὑπὸ τῶν Λακεδαιμονίων, ἔφευγον ȣ̓δένα κόσμον ἐς τὸ ςρατόπεδον τὸ ἑωϋτῶν, ϗ ἐς τὸ τεῖχος τὸ ξύλινον, τὸ ἐποιήσαντο ἐν μοίρῃ τῇ Θηβαΐδι. θώϋμα δέ μοι ὅκως παρὰ [f] τῆς Δήμητρος τὸ ἄλ-

[e] ἐτράπησαν. [f] περὶ.

enim cum armatis proelium faciebant.

63. Ibi et ultio necis Leonidae de Mardonio peracta eſt, ſecundum oraculum Spartiatis redditum: et victoria omnium quas unquam novimus ſpecioſiſſima potitus eſt Pauſanias Cleombroti filius, Anaxandridae nepos. Hujus autem ſuperiorum majorum nomina in Leonida recenſui. illius enim iidem qui et Pauſaniae majores fuere. Oppetiit autem Mardonius ab Aeimneſto, viro inter Spartiatas eximio: qui aliquamdiu poſt bellum Medicum trecentos viros ſecum habens, apud Stenyclerum belli tempore cum omnibus Meſſeniis conflixit, ubi ipſe et trecenti illi occubuere.

64. Ad Plataeas autem Perſae, poſtquam a Lacedaemoniis in fugam verſi ſunt, nullo ordine ad caſtra ſua contendunt, et ad murum ligneum quem fecerant in parte agri Thebani. Tenet autem me admiratio, quum juxta lucum Cereris

dimicaretur, ne unum quidem Perſarum viſum eſſe intraſſe fanum, neque circa templum occubuiſſe, ſed pleroſque in profano: ſed opinor (ſiquid de rebus divinis opinari oportet) deam ipſam eos non recepiſſe, qui ſacrum quod eſt in Eleuſine Anactorum concremaverant. Hactenus pugna haec geſta eſt.

65. Artabazus autem Pharnacis filius, cui jam inde ab initio diſplicuerat Mardonium relinqui ab rege, quique multis verbis pugnam diſſuadens nec ſinens praeliari nihil profecerat, hoc ſibi agendum putavit. Is, quod ſibi non placerent quae a Mardonio fiebant, eos quibus praeerat (praeerat autem non parvis copiis, ſed ad quadraginta uſque millibus hominum) illos, inquam, dum proelium fiebat, quid futurum e proelio eſſet probe intelligens, quum paraſſet, ibat, teſſera

σος μαχομένων, ὐδὲ εἷς ἐφάνη τῶν Περσέων οὔτε ἐσελθὼν ἐς τὸ τέμενος, οὔτε ἐναποθανὼν περὶ τὸ ἱρὸν, οἱ δὲ πλεῖστοι ἐν τῷ βεβήλῳ ἔπεσον. δοκέω δὲ, (εἴ τι περὶ τῶν θείων πρηγμάτων δοκέειν δεῖ) ἡ θεὸς αὐτή σφεας ὐκ ἐδέκετο[g], ἐμπρήσαντας τὸ ἱρὸν τὸ ἐν Ἐλευσῖνι ἀνάκτορον[h]. αὕτη μέν νυν ἡ μάχη ἐπὶ τοσῦτον ἐγένετο.

ξέ. Ἀρτάβαζος δὲ ὁ Φαρνάκεος αὐτίκα τε ὐκ ἠρέσκετο, κατ' ἀρχὰς λιπομένυ Μαρδονίυ ἀπὸ βασιλῆος· καὶ τότε πολλὰ ἀπαγορεύων, ὐδὲν ἤνυε, συμβάλλειν ὐκ ἐῶν. ἐποίησέ τε αὐτὸς τοιάδε, ὡς ὐκ ἀρεσκόμενος τοῖσι πρήγμασι τοῖσι ἐκ Μαρδονίυ ποιευμένοισι· τῶν ἐστρατήγεε ὁ Ἀρτάβαζος· εἶχε δὲ δύναμιν ὐκ ὀλίγην, ἀλλὰ καὶ ἐς τέσσερας μυριάδας ἀνθρώπων περὶ ἑωϋτόν· τύτυς ὅκως ἡ συμβολὴ ἐγίνετο, εὖ ἐξεπιστάμενος τὰ ἔμελλε ἀποβήσεσθαι ἀπὸ τῆς μάχης,

[g] ἰδέξατο. [h] ἀνακτόριον.

ἤϊε [1] κατηρτισμένος, παραγγείλας κατ' αὐτὸ ἰέναι πάντας τῇ ἂν αὐτὸς ἐξηγέηται, ὅκως ἂν τοῦτον ὁρέωσι σπουδῆς ἔχοντα. ταῦτα παραγγείλας, ὡς ἐς μάχην ἦγε δῆθεν τὸν στρατόν. προτερεύων δὲ τῆς ὁδοῦ, ὥρα δὴ καὶ φεύγοντας τοὺς Πέρσας. οὕτω δὴ οὐκέτι τὸν αὐτὸν κόσμον κατηγέετο, ἀλλὰ τὴν ταχίστην ἐτρόχαζε φεύγων, οὔτε ἐς τὸ ξύλινον οὔτε ἐς τὸ Θηβαίων τεῖχος, ἀλλ' ἐς Φωκέας, ἐθέλων ὡς τάχιστα ἐπὶ τὸν Ἑλλήσποντον ἀπικέσθαι. καὶ δὴ οὗτοι μὲν ταύτῃ ἐτράποντο.

ξζ'. Τῶν δὲ ἄλλων Ἑλλήνων τῶν μετὰ βασιλῆος ἐθελοκακεόντων, Βοιωτοὶ Ἀθηναίοισι ἐμαχέσαντο χρόνον ἐπὶ συχνόν. οἱ γὰρ μηδίζοντες τῶν Θηβαίων, οὗτοι ἔχον προθυμίην οὐκ ὀλίγην, μαχεόμενοί τε καὶ οὐκ ἐθελοκακέοντες οὕτω, ὥστε τριηκόσιοι αὐτέων οἱ πρῶτοι καὶ ἄριστοι ἐνθαῦτα ἔπεσον ὑπὸ Ἀθηναίων· ὡς δὲ ἐτράποντο καὶ οὗτοι, ἔφευγον ἐς τὰς Θήβας,

[1] ᾔει.

data, ut omnes irent quacunque ipſe duceret, et quâ viderent ipſum feſtinantem. Sic juſſas tanquam ad pugnam copias ſcilicet ducens, ſed paullum progreſſus cernit Perſas fugientes. ita non ſervato amplius eodem ducendi ordine, ſed repente effuſo curſu fugae ſe dedit, non ligneum murum verſus, aut Thebana moenia, ſed ad Phocenſes, animo celerrime perveniendi ad Helleſpontum. et hi quidem iſtuc iter intenderunt.

66. Ceteris autem Graecis qui ſtabant a regis partibus, ignaviter de induſtria agentibus, Boeoti tamen perdiu cum Athenienſibus decertaverunt. Nam ex Thebanis ii qui cum Medis ſentiebant, non parva ſtrenuitate utebantur, pugnanteſque et non ignaviter agentes, ita ut trecenti primores eorum ac fortiſſimi illic ab Athenienſibus occiſi fuerint. Ubi autem et iſti terga dederunt, fugerunt non

quo Perſae et aliorum ſociorum univerſa multitudo, quae et cum nemine pugnaverat, et nihil forte demonſtraverat, ſed Thebas verſus fugerunt.

67. Omnem autem barbarorum rem pependiſſe a Perſis, inde mihi fides ſit, quod tunc et ipſi, antequam etiam cum hoſte congrederentur, fugae ſe mandaverunt, quod Perſas quoque cernebant fugientes. atque ita cuncti fugam capeſſerunt, praeter equitatum, tum alium, tum Boeotium: qui hactenus profuit fugientibus, ut aſſidue hoſtibus proximus iret arcens amicos fugientes ab Graecis, qui quidem ſane victores ſequebantur urgendo Xerxianos atque interficiendo.

68. Inter hunc coedis tumultum nunciatur reliquis Graecis qui circa templum Junonis conſtituti erant, et a proelio abfuerant, peractum eſſe proelium et Pauſaniam cum ſuis vincere. Ea re au-

ὐκ ἧπερ οἱ Πέρσαι, καὶ τῶν ἄλλων συμμάχων ὁ πᾶς ὅμιλος, οὔτε διαμαχεσάμενος οὐδενὶ, οὔτε ἀποδεξάμενός τι, ἔφευγον.

ξζ΄. Δηλοῖ τέ μοι ὅτι πάντα τὰ πρήγματα τῶν βαρβάρων ἤρτητο ἐκ Περσέων, εἰ καὶ τότε ὗτοι, πρὶν ἢ καὶ συμμῖξαι τοῖσι πολεμίοισι, ἔφευγον, ὅτι καὶ τὺς Πέρσας ἑώρων. ὕτω τε πάντες ἔφευγον, πλὴν τῆς ἵππυ τῆς τε ἄλλης καὶ τῆς Βοιωτίης. αὕτη δὲ τοσαῦτα προσωφέλεε τὺς φεύγοντας, αἰεί τε πρὸς τῶν πολεμίων ἄγχιστα ἐῦσα, ἀπείργυσά τε τὺς φιλίυς φεύγοντας ἀπὸ τῶν Ἑλλήνων. οἱ μὲν δὴ νικῶντες εἵποντο, τὺς Ξέρξεω διώκοντες καὶ φονεύοντες.

ξη΄. Ἐν δὲ τύτῳ τῷ γινομένῳ φόβῳ ἀγγέλλεται τοῖσι ἄλλοισι Ἕλλησι τοῖσι τεταγμένοισι περὶ τὸ Ἡραῖον, καὶ ἀπογενομένοισι τῆς μάχης, ὅτι μάχη τε γέγονε, καὶ νικῷεν οἱ μετὰ Παυσανίεω. οἱ

δὲ, ἀκούσαντες ταῦτα, οὐδένα κόσμον ταχθέντες, οἱ μὲν ἀμφὶ Κορινθίους, ἐτράποντο διὰ τῆς ὑπωρέης καὶ τῶν κολωνῶν τὴν φέρουσαν ἄνω, ἰθὺ τοῦ ἱροῦ τῆς Δήμητρος· οἱ δὲ ἀμφὶ Μεγαρέας τε καὶ Φλιασίους, διὰ τοῦ πεδίου τὴν λειοτάτην τῶν ὁδῶν. ἐπεί τε δὲ ἀγχοῦ τῶν πολεμίων ἐγίνοντο οἱ Μεγαρέες καὶ Φλιάσιοι, ἀπιδόντές σφεας οἱ τῶν Θηβαίων ἱππόται ἐπειγομένους οὐδένα κόσμον, ἤλαυνον ἐπ' αὐτοὺς τοὺς ἵππους, τῶν ἱππάρχεε Ἀσωπόδωρος ὁ Τιμάνδρου. ἐσπεσόντες δὲ κατεστόρεσαν αὐτέων ἑξακοσίους, τοὺς δὲ λοιποὺς κατήραξαν διώκοντες ἐς τὸν Κιθαιρῶνα. οὗτοι μὲν δὴ ἐν οὐδενὶ λόγῳ ἀπώλοντο.

ξθ'. Οἱ δὲ Πέρσαι, καὶ ὁ ἄλλος ὅμιλος, ὡς κατέφυγον ἐς τὸ ξύλινον τεῖχος, ἔφθησαν ἐπὶ τοὺς πύργους ἀναβάντες, πρὶν ἢ τοὺς Λακεδαιμονίους ἀπικέσθαι· ἀναβάντες δὲ, ἐφράξαντο ὡς ἠδυνέατο ἄριστα τὸ τεῖχος. προσελθόντων δὲ τῶν Λακεδαιμονί-

dita, Corinthii nullo ordine eunt per radicem montis et per colles viam in alta ferentem recta qua itur ad Cereris templum: Megarenſes et Phliaſii per campum, quae planiſſima viarum erat. Quos utroſque jam hoſti propinquos nullo ordine irruere conſpicati Thebanorum equites, quorum praefectus erat Aſopodorus Timandri filius, equos in illos incitaverunt, et invecti ſexcentos iſtorum ſtraverunt: ceteros ad Cithaeronem impulerunt perſequendo. Et hi quidem nulla cum laude perierunt.

69. At Perſae ceteraque multitudo poſtquam ad ligneum murum fugerunt, turres, antequam Lacedaemonii advenirent, aſcendere occupant. Illis conſcenſis quamoptime poſſunt murum praeſtruunt. ex quo ſubeuntibus mox Lacedaemoniis,

acrior extitit muri oppugnatio. Nam quoad Athenienſes abfuere, non modo ſeſe defenſabant, ſed etiam Lacedaemoniis multo antecellebant, utpote ignaris murorum oppugnandorum: ut vero Athenienſes ſupervenere, tum atrox circa murum pugna extitit, eaque magno temporis ſpatio: ſed tandem virtute et pertinacia Athenienſes murum tranſcenderunt, ſubrueruntque, atque ea parte Graeci infundebantur, quorum Tegeatae introiere principes; iidemque ſunt, qui tentorium Mardonii diripuerunt, et ex eo cum alia, tum vero equorum praeſepe ex aere totum, ſpectatu dignum: quod praeſepe Mardonii Tegeatae in templo Aleae Minervae repoſuerunt. nam cetera quae cepere, in unum cum ceterorum Graecorum praeda contulerunt. Proruto muro barbari non amplius catervam cogere, nemo ſtrenuitatis memor eſſe; et erant

ων, κατεστήκεέ σφι τειχομαχίη ἐῤῥωμενεστέρη. ἕως μὲν γὰρ ἀπῆσαν οἱ Ἀθηναῖοι, οἳ δ' ἠμύνοντο, καὶ πολλῷ πλέον ἔχον τῶν Λακεδαιμονίων, ὥστε οὐκ ἐπισταμένων τειχομαχέειν· ὡς δέ σφι οἱ Ἀθηναῖοι προσῆλθον, οὕτω δὴ ἰσχυρὴ ἐγίνετο τειχομαχίη, καὶ χρόνον ἐπὶ πολλόν. τέλος δὲ, ἀρετῇ τε καὶ λιπαρίῃ ἐπέβησαν Ἀθηναῖοι τοῦ τείχεος, καὶ ἤρειπον, τῇ δὴ ἐσεχέοντο οἱ Ἕλληνες. πρῶτοι δὲ ἐσῆλθον Τεγεῆται ἐς τὸ τεῖχος, καὶ τὴν σκηνὴν τοῦ Μαρδονίου οὗτοι ἔσαν οἱ διαρπάσαντες, τά τε ἄλλα ἐξ αὐτῆς, καὶ τὴν φάτνην τῶν ἵππων ἐοῦσαν χαλκέην πᾶσαν, καὶ θέης ἀξίην. τὴν μέν νυν φάτνην ταύτην τὴν Μαρδονίου ἀνέθεσαν ἐς τὸν νηὸν τῆς Ἀλέης Ἀθηναίης Τεγεῆται, τὰ δὲ ἄλλα ἐς τὠυτὸ ὅσαπερ ἔλαβον ἐσήνεικαν τοῖσι Ἕλλησι. οἱ δὲ βάρβαροι οὐδὲν ἔτι στῖφος ἐποιήσαντο πεσόντος τοῦ τείχεος, οὔτέ τις αὐτέων ἀλκῆς ἐμέμνητο· ἀλύκταζόν τε οἷα ἐν ὀλί-

γῳ χρόνῳ πεφοβημένοι τε καὶ πολλαὶ μυριάδες καἱειλημμέναι ἀνθρώπων. παρῆν τε τοῖσι Ἕλλησι φονεύειν ὅτω, ὥςε τριήκοντα μυριάδων ςρατῦ, καταδεῦσέων τεσσέρων, τὰς ἔχων Ἀρτάβαζος ἔφευγε, τῶν λοιπῶν μηδὲ τρεῖς χιλιάδας περιγενέσθαι. Λακεδαιμονίων δὲ τῶν ἐκ Σπάρτης ἀπέθανον οἱ πάντες ἐν τῇ συμβολῇ, εἷς καὶ ἐννενήκοντα· Τεγεητέων δὲ, ἑκκαίδεκα· Ἀθηναίων δὲ, δύο καὶ πεντήκοντα.

ο'. Ἠρίςευσε δὲ τῶν βαρβάρων πεζὸς μὲν, ὁ Περσέων, ἵππος δὲ, ἡ Σακέων· ἀνὴρ δὲ λέγεται Μαρδόνιος. Ἑλλήνων δὲ ἀγαθῶν γενομένων καὶ Τεγεητέων καὶ Ἀθηναίων, ὑπερεβάλοντο ἀρετῇ Λακεδαιμόνιοι. ἄλλῳ μὲν ὐδενὶ ἔχω ἀποσημήνασθαι· ἅπαντες γὰρ ὗτοι τὺς κατ' ἑωϋτὺς ἐνίκων. ὅτι δὲ κατὰ τὸ ἰσχυρότατον προσηνείχθησαν, καὶ τυτέων ἐκράτησαν, καὶ ἄριςος ἐγένετο μακρῷ Ἀριςόδημος κατὰ γνώμας τὰς ἡμετέρας·

ſtupefacti, quippe intra exiguum tempus exterriti et multae myriades hominum interceptae. Quos tam licite Graeci trucidabant, ut ex trecentis millibus militum (exceptis quadraginta cum quibus Artabazus aufugit) reliquorum ne tria quidem millia caedi ſuperfuerint. E Lacedaemoniis autem qui Spartani eſſent, unus et nonaginta ſunt omnino deſiderati: Tegeatarum, ſedecim: Athenienſium, duo et quinquaginta.

70. Porro inter barbaros ſtrenuiſſimi extiterunt, e peditibus quidem Perſae, ex equitibus autem Sacae, e viris vero, Mardonius: inter Graecos autem cum Tegeatae Athenienſeſque multum eminuerunt, tum virtute ſuperaverunt Lacedaemonii. Quod nulla alia re poſſum oſtendere, niſi quod omnes hi eos qui ſibi oblati ſunt vicerunt: Lacedaemonii vero quod robuſtiſſimum fuit hoſtilis exercitus ſuperaverunt. Quorum longe praeſtantiſſimus

extitit mea ſententia Ariſtodemus, is qui ſolus trecentorum, quod ex Thermopylis evaſiſſet, dedecus ignominiamque acceperat. Secundum hunc navavere operam Poſidonius et Philocyon et Amompharetus Spartiata. Quanquam quum ſermo haberetur quiſnam eorum praeſtantiſſimus extitiſſet, ii Spartiatae qui adfuere, cenſuerunt, Ariſtodemum, quum vellet mori propalam ex inflicta ipſi criminatione, furibundum et deſerendo ordinem praeclara facinora edidiſſe: Poſidonium vero, qui perire noluiſſet, ob id extitiſſe tanto praeſtabiliorem virum. verum id quidem etiam livore dixerimus. Quos hac in pugna mortem oppetiſſe edidi, omnes honore affecti ſunt, praeter Ariſtodemum: qui ideo caruit honore, quod ob cauſſam praedictam ſibi occumbendum putavit.

71. Hi ſunt qui ad Plataeas nobiliſſimi extitere. nam Callicrates extra proe-

ὃς ἐκ Θερμοπυλέων μοῦνος τῶν τριηκοσίων σωθεὶς, ἔχε ὄνειδος καὶ ἀτιμίην. μετὰ δὲ τοῦτον [a], ἠρίστευσαν Ποσειδώνιός τε καὶ Φιλοκύων καὶ Ἀμομφάρετος Σπαρτιήτης. καίτοι γενομένης λέσχης ὃς γένοιτο αὐτέων ἄριστος, ἔγνωσαν οἱ παραγενόμενοι Σπαρτιητέων, Ἀριστόδημον μὲν βουλόμενον φανερῶς ἀποθανεῖν ἐκ τῆς παρεούσης οἱ αἰτίης, λυσσῶντά τε καὶ ἐκλείποντα τὴν τάξιν, ἔργα ἀποδέξασθαι μεγάλα· Ποσειδώνιον δὲ, οὐ βουλόμενον ἀποθνήσκειν, ἄνδρα γενέσθαι ἀγαθόν· τοσούτῳ τοῦτον εἶναι ἀμείνω. ἀλλὰ ταῦτα μὲν καὶ φθόνῳ ἂν εἴποιμεν [b]. οὗτοι δὲ τοὺς κατέλεξα πάντας, πλὴν Ἀριστοδήμου, τῶν ἀποθανόντων ἐν ταύτῃ τῇ μάχῃ, τίμιοι ἐγένοντο. Ἀριστόδημος δὲ, βουλόμενος ἀποθανεῖν διὰ τὴν προειρημένην αἰτίην, οὐκ ἐτιμήθη.

οα΄. Οὗτοι μὲν τῶν ἐν Πλαταιῇσι ὀνομαστότατοι ἐγένοντο. Καλλικράτης γὰρ

a MS. τούτων. b εἴποιεν.

ἔξω τῆς μάχης ἀπέθανε, ἐλθὼν ἀνὴρ κάλλιςος ἐς τὸ ςρατόπεδον τῶν τότε Ἑλλήνων, ὐ μόνον αὐτέων Λακεδαιμονίων, ἀλλὰ καὶ τῶν ἄλλων Ἑλλήνων. ὃς, ἐπειδὴ ἐσφαγιάζετο Παυσανίης, κατήμενος ἐν τῇ τάξι, ἐτρωματίσθη τοξεύματι τὰ πλευρά· καὶ δὴ οἱ μὲν ἐμάχοντο, ὁ δ' ἐξενηνεγμένος ἐδυσθανάτεέ τε, καὶ ἔλεγε πρὸς Αριμνηςον[c], ἄνδρα Πλαταιέα, ὐ μέλειν οἱ ὅτι πρὸ τῆς Ἑλλάδος ἀποθνήσκει, ἀλλ' ὅτι ὐκ ἐχρήσατο τῇ χερὶ, καὶ ὅτι ὐδέν ἐςι οἱ ἀποδεδεγμένον ἔργον ἑωϋτῦ ἄξιον προθυμευμένυ ἀποδέξασθαι.

οϛ'. Αθηναίων δὲ λέγεται εὐδοκιμῆσαι Σωφάνης ὁ Εὐτυχίδεω, ἐκ δήμυ Δεκελῆθεν· Δεκελέων δὲ τῶν πότε ἐργασαμένων ἔργον χρήσιμον ἐς τὸν πάντα χρόνον, ὡς αὐτοὶ Αθηναῖοι λέγυσι. ὡς γὰρ δὴ τοπάλαι κατὰ Ἑλένης κομιδὴν Τυνδαρίδαι ἐσέβαλον ἐς γῆν τὴν Αττικὴν σὺν ςρατῦ πλήθεϊ, καὶ ἀνίςασαν τοὺς

[c] Ἀείμνηςον.

lium occubuit: quo nemo tunc in caſtra Graecorum praeſtantior venerat, non modo ipſorum Lacedaemoniorum, ſed etiam aliorum Graecorum. Hic, quum Pauſanias ſacrificaret, ſedens in ordine, ſagitta latera ictus eſt: et aliis pugnantibus ipſe exportatus, ſeſe morientem miſerabatur, ad Arimneſtum virum Plataeenſem inquiens, non ſe curare quod pro Graecia periret, ſed quod nihil manu uſus eſſet, nullamque operam navaſſet dignam ſe et ſua cupiditate navandi.

72. Ex Athenienſibus eminuiſſe fertur Sophanes Eutychidis filius, e populo Decelenſi: Decelenſes autem rem aliquando geſſerunt, ut ipſi Athenienſes ajunt, in omne aevum fructuoſam. ſiquidem quum olim ad reportandam Helenam Tyndaridae cum magnis copiis oram Atticam invaſiſſent, et populos e

ſedibus ſuis ejicerant, ignari quonam loci ſubducta Helena eſſet, tunc Decelenſes feruntur, et (ut quidam volunt) ipſe Decelus, tum dolore contumeliae, quam Theſeus intuliſſet, tum metu totius Athenienſium ſoli, ne vaſtaretur, expoſuiſſe illis omnem rem geſtam, eoſque deduxiſſe ad Aphidnas, quas Titacus indigena Tyndaridis proderet. Quo ex facto Decelenſibus permanſit ad hanc uſque memoriam in Sparta immunitas vectigalium, et dignitas praeſidendi: adeo quidem ut bello quod multis poſtea annis inter Athenienſes atque Peloponnenſes geſtum eſt, Lacedaemonii quum ceteram Atticam popularentur, a Decelea temperaverint.

73. Ex hoc populo ortus Sophanes, et praeclariſſime tunc inter Athenienſes navata opera, ancipiti ſermone celebratur: uno, fertur geſtaſſe ferream ancoram e balteo thoracis catena alligatam, quam, quoties adventantibus hoſtibus propin-

δήμυς, ὐκ εἰδότες ἵνα ὑπεξέκειτο ἡ Ἑλένη, τότε λέγυσι καὶ τὺς Δεκελέας, οἱ δὲ αὐτὸν Δέκελον, ἀχθόμενόν τε τῇ Θησέος ὕβρι, καὶ δειμαίνοντα περὶ πάσῃ τῇ Ἀθηναίων χώρῃ, ἐξηγησάμενόν σφι τὸ πᾶν πρῆγμα, κατηγήσασθαι ἐπὶ τὰς Ἀφίδνας, τὰς δὴ Τιτακὸς ἐὼν αὐτόχθων καταπροδιδοῖ Τυνδαρίδῃσι. τοῖσι δὲ Δεκελεῦσι ἀπὸ τύτυ τῦ ἔργυ ἐν Σπάρτῃ ἀτελείη τε κ̀ προεδρίη διατελέει ἐς τόδε αἰεὶ ἔτι ἐῦσα ὕτω, ὥςε καὶ ἐς τὸν πόλεμον τὸν ὕςερον πολλοῖσι ἔτεσι τύτων γενόμενον Ἀθηναίοισί τε κ̀ Πελοποννησίοισι, σινομένων τὴν ἄλλην Ἀττικὴν Λακεδαιμονίων, Δεκελέης ἀπέχεσθαι.

ογ'. Τύτυ τῦ δήμυ ἐὼν ὁ Σωφάνης, κ̀ ἀριςεύσας τοτε Ἀθηναίων, διξὺς λόγυς λεγομένυς ἔχει· τὸν μὲν, ὡς ἐκ τῦ ζωςῆρος τῦ θώρηκος ἐφόρεε χαλκέῃ ἁλύσι δεδεμένην ἄγκυραν σιδηρέην. τὴν, ὅκως πελάσειε ἀπικνεόμενος τοῖσι πολεμίοισι,

βαλλέσκετο, ἵνα δή μιν οἱ πολέμιοι ἐκπίπτοντες, ἐκ τῆς τάξιος μετακινῆσαι μὴ δυναίατο. γινομένης δὲ φυγῆς τῶν ἐναντίων, δέδοκτο, τὴν ἄγκυραν ἀναλαβόντα, ὕτω διώκειν. οὗτος μὲν ὕτω λέγεται. ὁ δ' ἕτερος τῶν λόγων, τῷ πρότερον λεχθέντι ἀμφισβατέων [d], λέγεται ὡς ἐπ' ἀσπίδος αἰεὶ περιθεύσης [e] καὶ ὑδαμᾶ ἀτρεμιζύσης ἐφόρεε ἄγκυραν, καὶ ὐκ ἐκ τῦ θώρηκος δεδεμένην σιδηρέην.

οδ'. Ἐστι δὲ καὶ ἕτερον Σωφάνεϊ λαμπρὸν ἔργον ἐξεργασμένον· ὅτι περικατημένων Ἀθηναίων Αἴγιναν, Εὐρυβάτην τὸν Ἀργεῖον ἄνδρα πεντάεθλον ἐκ προκλήσιος ἐφόνευσε. αὐτὸν δὲ Σωφάνεα χρόνῳ ὕστερον τυτέων κατέλαβε, ἄνδρα γενόμενον ἀγαθὸν, Ἀθηναίων στρατηγέοντα ἅμα Λεάγρῳ τῷ Γλαύκωνος, ἀποθανεῖν ὑπὸ Ἠδωνῶν ἐν Δάτῳ, περὶ τῶν μετάλλων τῶν χρυσέων μαχεόμενον.

οε'. Ὡς δὲ τοῖσι Ἕλλησι ἐν Πλαται-

[d] ἀμφισβητέων. [e] ἀσπίδος περιθεύσης.

quus erat, objiciebat, ne illi irruentes, ipsum ex ordine summovere possent: rursus eisdem in fugam se vertentibus, resumpta ancora ita fugientes insequebatur. Altero sermone a superiori differente fertur gestasse ancoram non ferream ex thorace alligatam, sed insignitam in scuto, quod nunquam quiescens, assidue rotabatur.

74. Extat et alterum Sophanis praeclarum facinus, quod obsidentibus Aeginam Atheniensibus, Eurybatem virum Argivum quinquertionem ex provocatione interemit. Sed aliquanto post haec gesta virum egregium exhibens, dum Atheniensium una cum Leagro Glauconis filio dux esset, ac de metallis aureis decertaret, contigit ut ab Edonis apud Daton occumberet.

75. Postquam barbari ab Graecis ad

Plataeas ſtrati ſunt, acceſſit illuc ad hos mulier quaedam transfugiens, quae quum accepiſſet Perſas periiſſe et Graecos victores, pallaca Pharandatis filii Teaſpis, viri Perſae, multo auro ornata, tum ipſa, tum ancillae, et cum veſte ſpecioſiſſima prae omnibus quae aderant; deſcendens ex carpento pergit ad Lacedaemonios adhuc in caede occupatos: et intuita Pauſaniam illa omnia adminiſtrantem, cujus et nomen jam pridem et patriam noſcebat, ut quod utrumque ſane audierat, cognovit Pauſaniam: Ejus genua amplectens, ‘ Spartae rex, inquit, libera me ſupplicem captivitatis ſervitute, quam etiam hoc facto demeritus es quod iſtos extinxiſti neque daemonum neque deorum reſpectum habentes. Equidem genere ſum Coa, Hegetoridae filia, Antagorae neptis, quam vi raptam ex Co Perſa habuit. Huic reſpondens Pauſanias, ‘ Bono,

ῇσι κατέϛρωντο οἱ βάρβαροι, ἐνθαῦτά σφι ἐπῆλθε γυνὴ αὐτόμολος· ἣ ἐπειδὴ ἔμαθε ἀπολωλότας τοὺς Πέρσας, καὶ νικῶντας τοὺς Ἕλληνας, ἐοῦσα παλλακὴ Φαρανδάτεος τοῦ Τεάσπιος, ἀνδρὸς Πέρσεω, κοσμησαμένη χρυσῷ πολλῷ καὶ αὐτὴ καὶ ἀμφίπολοι, καὶ ἐσθῆτι τῇ καλλίϛῃ τῶν[f] παρεουσέων, καταβᾶσα ἐκ τῆς ἁρμαμάξης, ἐχώρεε ἐς τοὺς Λακεδαιμονίους ἔτι ἐν τῇσι φονῇσι ἐόντας[g]. ὁρῶσα δὲ πάντα ἐκεῖνα διέποντα Παυσανίην, πρότερόν τε τὸ οὔνομα ἐξεπιϛαμένη καὶ τὴν πάτρην, ὥϛε πολλάκις ἀκούσασα, ἔγνω τε τὸν Παυσανίην, καὶ λαβομένη τῶν γουνάτων, ἔλεγε τάδε, ‘ Ω βασιλεῦ Σπάρτης, λῦ-‘ σαί με τὴν ἱκέτιν αἰχμαλώτου δουλο-‘ σύνης. σὺ γὰρ καὶ ἐς τόδε ὤνησας, τούς-‘ δε ἀπολέσας τοὺς οὔτε δαιμόνων οὔτε θεῶν ‘ ὄπιν ἔχοντας. εἰμὶ δὲ γένος μὲν Κῴη, ‘ θυγάτηρ δὲ Ἡγητορίδεω τοῦ Ανταγό-‘ ρεω. βίῃ δέ με λαβὼν ἐν Κῷ ἔχε ὁ

f καλλίϛη ἐκ τῶν. g Vocem ἐόντας non agnoſcit MS.

Πέρσης. ὁ δὲ ἀμείβεται[a] τοῖσδε, ‘ Γύ-
‘ ναι, θάρσει, καὶ ὡς ἱκέτις, καὶ εἰ δὴ πρὸς
‘ τούτῳ τυγχάνεις ἀληθέα λέγουσα, καὶ
‘ εἶ θυγάτηρ Ἡγητορίδεω τοῦ Κώου, ὃς
‘ ἐμοὶ ξεῖνος μάλιστα τυγχάνει ἐὼν τῶν
‘ περὶ ἐκείνους τοὺς χώρους οἰκεομένων.’
ταῦτα δὲ εἴπας, τότε μὲν ἐπέτρεψε
τῶν Εφόρων τοῖσι παρεοῦσι, ὕστερον δὲ
ἀπέπεμψε ἐς Αἴγιναν, ἐς τὴν αὐτὴ ἤθελε
ἀπικέσθαι.

οϛʹ. Μετὰ δὲ τὴν ἄπιξιν τῆς γυναι-
κὸς, αὐτίκα μετὰ ταῦτα ἀπίκοντο Μαν-
τινέες ἐπ’ ἐξεργασμένοισι. μαθόντες δὲ ὅτι
ὕστεροι ἥκουσι τῆς συμβολῆς, συμφορὴν ἐ-
ποιεῦντο μεγάλην, ἄξιοί τε ἔφασαν εἶναι
σφέας ζημιῶσαι. πυνθανόμενοι δὲ τοὺς Μή-
δους τοὺς μετὰ Αρταβάζου φεύγοντας, τού-
τους ἐδίωκον μέχρι Θεσσαλίης. Λακεδαι-
μόνιοι δὲ οὐκ ἔων φεύγοντας διώκειν. οἱ δὲ
ἀναχωρήσαντες ἐς τὴν ἑωϋτῶν, τοὺς ἡγε-
μόνας τῆς στρατιῆς ἐδίωξαν ἐκ τῆς γῆς.

[a] ἀμείβετο.

'inquit, o mulier, animo eſto, tum quia 'ſupplex, tum ſi inſuper loqueris illa vera, 'et filia es Hegetoridae Coi, mihi inter 'omnes qui illa circa loca incolunt hoſ-'pitis praecipui.' Haec loquutus, eam impraeſentiarum Ephoris qui aderant commendavit: poſtmodum in Aeginam, quo illa voluit, dimiſit.

76. Poſt hujus mulieris digreſſum continuo Mantineenſes ſupervenerunt rebus confectis: qui ſe animadvertentes veniſſe ſero ad pugnam, magnae jacturae loco id ſibi eſſe putaverunt, ſed idoneos ſe eſſe ad ſumendas de ipſis poenas dixere. Itaque cognito, Medos qui cum Artabazo erant, fugae ſe mandaſſe, eos in Theſſaliam uſque perſequuti ſunt, etſi vetantibus Lacedaemoniis inſequi fugientes. Iidem poſtea domum reverſi, duces

ſuos exilio mulctaverunt. Poſt Mantineenſes venere Elei, qui itidem ut Mantineenſes magno id ſibi detrimento exiſtimantes, diſceſſerunt, ſuoſque et ipſi duces exilio mulctaverunt. Hactenus de Mantineenſibus et Eleis.

77. Erat autem apud Plataeas in exercitu Aeginetarum e primoribus Lampon Pythei filius, qui Pauſaniam adiens, infandiſſima uſus eſt oratione, inquiens, 'Fili Cleombroti, rem tu mirificam et 'magnitudine et fulgore geſſiſti, cui deus 'tribuit ut liberata Graecia, omnes quos 'novimus Graecos gloria ſupergredereris. 'quod ſupereſt in hac re, agas ita, ut et 'tu majore fama celebreris, et aliquis 'barbarorum poſthac caveat nefanda 'facinora inchoare in Graecos. Etenim 'Leonidae apud Thermopylas interempti

μετὰ δὲ Μαντινέας, ἧκον Ηλεῖοι. καὶ ὡσαύτως οἱ Ηλεῖοι τοῖσι Μαντινεῦσι συμφορὴν ποιησάμενοι, ἀπαλλάσσοντο· ἀπελθόντες δὲ καὶ οὗτοι, τοὺς ἡγεμόνας ἐδίωξαν. τὰ κατὰ Μαντινέας μὲν καὶ Ηλείους τοσαῦτα.

οζʹ. Εν δὲ Πλαταιῇσι ἐν τῷ στρατοπέδῳ τῶν Αἰγινητέων ἦν Λάμπων ὁ Πύθεω, Αἰγινητέων τὰ πρῶτα φέρων[b]· ὃς ἀνοσιώτατον λόγον ἔχων, ἵετο πρὸς Παυσανίην. ἀπικόμενος δὲ σπουδῇ, ἔλεγε τάδε, ‘ Ω παῖ[c] Κλεομβρότου, ἔργον ἔργασταί τοι ὑπερφυὲς, μέγαθός τε καὶ κάλ-‘ λος. καί τοι θεὸς παρέδωκε ῥυσάμενον ‘ τὴν Ἑλλάδα, κλέος καταθέσθαι μέ-‘ γιστον Ἑλλήνων τῶν ἡμεῖς ἴδμεν. σὺ δὲ ‘ καὶ τὰ λοιπὰ τὰ ἐπὶ τούτοισι ποίησον, ‘ ὅκως λόγος τέ σε ἔχῃ ἔτι μέζων, καί ‘ τις ὕστερον φυλάσσηται τῶν βαρβάρων ‘ μὴ ὑπάρχειν ἔργα ἀτάσθαλα ποιέων ‘ ἐς τοὺς Ἕλληνας. Λεωνίδεω γὰρ ἀποθα-

b Haec vox φέρων non est in MS. c ἔλεγε, Ω παῖ.

‘ νόντος ἐν Θερμοπύλῃσι, Μαρδόνιός τε
‘ καὶ Ξέρξης ἀποταμόντες τὴν κεφαλὴν
‘ ἀνεσταύρωσαν. τῷ σὺ τὴν ὁμοίην ἀπο-
‘ διδοὺς, ἔπαινον ἕξεις πρῶτα μὲν ὑπὸ τῶν
‘ Σπαρτιητέων πάντων, αὖτις δὲ καὶ
‘ πρὸς τῶν ἄλλων Ἑλλήνων. Μαρδόνιον
‘ γὰρ ἀνασκολοπίσας, τετιμωρήσαι ἐς
‘ πάτρων τὸν σὸν Λεωνίδην.’ ὁ μὲν, δο-
κέων χαρίζεσθαι, ἔλεγε τάδε·

οθ΄. Ὁ δ᾽ ἀνταμείβετο τοῖσδε, ‘ Ὦ
‘ ξεῖνε Αἰγινῆτα, τὸ μὲν εὐνοεῖν τε καὶ
‘ προορᾷν, ἄγαμαι σεῦ· γνώμης μέντοι
‘ ἡμάρτηκας χρηστῆς. ἐξάρας γάρ με ὑψοῦ,
‘ καὶ τὴν πάτρην καὶ τὸ ἔργον, ἐς τὸ μηδὲν
‘ κατέβαλες, παραινέων νεκρῷ λυμαίνε-
‘ σθαι· καὶ, ἢν ταῦτα ποιέω, φὰς ἄμει-
‘ νόν με ἀκούσεσθαι, τὰ πρέπει μᾶλλον
‘ βαρβάροισι ποιέειν ἤπερ Ἕλλησι, κα-
‘ κείνοισι δὲ ἐπιφθονέομεν. ἐγὼ δ᾽ ὦν τούτου
‘ εἵνεκα μήτε Αἰγινήτῃσι ἅδοιμι, μήτε
‘ τοῖσι ταῦτα ἀρέσκεται· ἀποχρᾷ δέ

' reciſo capite Mardonius ac Xerxes trun-' cum in crucem ſuſtulerunt: cui ſi vicem ' reddes, laudem nanciſceris, primum ab ' omnibus Spartiatis, ſecundo loco ab u-' niverſis Graecis, ſiquidem ſuffixo Mar-' donio, Leonidam patruum tuum fueris ' ultus.' Haec Lampon gratiam ſe initurum ratus apud Pauſaniam dicebat.

78. Cui reſpondens Pauſanias, ' Tu-' am, inquit, hoſpes Aegineta, benevo-' lentiam atque providentiam amplector: ' tamen ab aequitate judicandi decrras. ' nam qui et me et patriam in altum ex-' tuliſti et haec geſta, ad nihilum redigis, ' quum ſuades mihi ſaevire in mortuum, ' aiſque me auditurum melius, ſi iſtud ' fecero, quod barbaros decet potius fa-' cere quam Graecos, quodque in illis ' exprobramus. quare ego neque Aegi-' netis, neque iis quibus iſta probantur ' aſſentior: contentuſque ſum Spartiatis

'placere ut in negociis dictisque fas tuear. 'Leonidae autem, cui me jubes parentare, affirmo magnifice esse parentatum; 'nam funeribus horum innumerabilibus 'vindicatus est et ipse et ceteri, qui apud 'Thermopylas occubuerunt. Tu vero 'posthac haerens in hac eadem cogitati'one ne me adieris: quod tibi impune 'esse, loco beneficii ponas.'

79. Hoc quum ille audisset, abiit. Pausanias autem quum praeconio edixisset, nequis de praeda quid tangeret, jussit helotas omnem comportare pecuniam. Illi per castra dispersi inveniunt tentoria auro et argento ornata, lectosque ex auro et argento, crateras etiam aureos, phialasque, et alia vasa potoria, nec non saccos super plaustra, interlucentibus intus inclusis ex auro et argento lebetibus. Quinetiam caesorum cadavera spoliabant

‘ μοι, Σπαρτιήτῃσι ἀρεσκόμενον, ὅσια μὲν
‘ ποιέειν, ὅσια δὲ κ̀ λέγειν. Λεωνίδῃ δὲ,
‘ τῷ με κελεύεις τιμωρῆσαι, φημὶ μεγά-
‘ λως τετιμωρῆσθαι. ψυχῆσί τε τῶνδε
‘ ἀναριθμήτοισι τετίμηται αὐτός τε κ̀ οἱ
‘ ἄλλοι οἱ ἐν Θερμοπύλῃσι τελευτήσαν-
‘ τες. σὺ μέντοι ἔτι ἔχων λόγον τοιόνδε,
‘ μήτε προσέλθῃς ἔμοιγε, μήτε συμβουλεύ-
‘ ῃς· χάριν τε ἴσθι, ἐὼν ἀπαθής.’

οθ΄. Ὁ μὲν, ταῦτα ἀκούσας, ἀπαλλάσσετο. Παυσανίης δὲ κήρυγμα ποιησάμενος, μηδένα ἅπτεσθαι τῆς ληΐης, συγκομίζειν ἐκέλευε τοὺς εἵλωτας τὰ χρήματα. οἱ δὲ, ἀνὰ τὸ στρατόπεδον σκιδνάμενοι, εὕρισκον σκηνὰς κατεσκευασμένας χρυσῷ κ̀ ἀργύρῳ, κλίνας τε ἐπιχρύσους κ̀ ἐπαργύρους· κρητῆράς τε χρυσέους, κ̀ φιάλας τε κ̀ ἄλλα ἐκπώματα· σάκκους τε ἐπ᾽ ἁμαξέων εὕρισκον, ἐν τοῖσι λέβητες ἐφαίνοντο ἐνεόντες χρύσεοί τε κ̀ ἀργύρεοι. ἀπό τε τῶν κειμένων νεκρῶν ἐσκύλευον

ψέλλιά τε καὶ στρεπτὰς, καὶ τὰς ἀκινάκας, ἐόντας χρυσέας· ἐπεὶ ἐσθῆτός γε ποικίλης λόγος ἐγίνετο οὐδείς. ἐνθαῦτα πολλὰ μὲν κλέπτοντες ἐπώλεον πρὸς τὰς Αἰγινήτας οἱ εἵλωτες, πολλὰ δὲ καὶ ἀπεδείκνυσαν, ὅσα αὐτέων οὐκ οἷά τε ἦν κρύψαι· ὥστε Αἰγινήτῃσι οἱ μεγάλοι πλοῦτοι ἀρχὴν ἐνθεῦτεν ἐγένοντο, οἳ τὸν χρυσὸν, ἅτε ἐόντα χαλκὸν δῆθεν, παρὰ τῶν εἱλωτέων ὠνέοντο.

π'. Συμφορήσαντες δὲ τὰ χρήματα, καὶ δεκάτην ἐξελόντες τῷ ἐν Δελφοῖσι θεῷ, ἀπ' ἧς ὁ τρίπους ὁ χρύσεος ἀνετέθη, ὁ ἐπὶ τοῦ τρικαρήνου ὄφεος τοῦ χαλκέου ἐπεστεὼς ἄγχιστα τοῦ βωμοῦ· καὶ τῷ ἐν Ὀλυμπίῃ θεῷ ἐξελόντες, ἀπ' ἧς δεκάπηχυν χάλκεον Δία ἀνέθηκαν· καὶ τῷ ἐν Ἰσθμῷ θεῷ, ἀπ' ἧς ἑπτάπηχυς χάλκεος Ποσειδέων ἐξεγένετο. ταῦτα ἐξελόντες, τὰ λοιπὰ διαιρέοντο καὶ ἔλαβον ἕκαστοι, τῶν ἄξιοι ἔσαν, καὶ τὰς παλλακὰς τῶν Περσέων, καὶ τὸν

armillis et torquibus, ſed et acinaces aureos tollebant. Nam diverſicolora veſtimenta nullius momenti habebantur. Ibi tum multa furto ſubtrahentes helotae Aeginetis venundabant; multa, quae occultare non poterant, monſtrabant: prorſus ut inde extiterint ingentes divitiae Aeginetis, utpote aurum ab helotis pro aere mercantibus.

80. Collata autem pecunia decimam ſelegerunt deo, qui Delphis eſt, ex qua tum tripes aureus ibi repoſitus eſt, inſiſtens ſuper tricipiti ex aere colubro, proxime aram: tum deo qui eſt in Olympia, aereus decem cubitorum Jupiter: tum deo qui eſt in Iſthmo, aereus ſeptem cubitorum Neptunus. Hac parte ſelecta, ceteras inter ſe diſtribuerunt, pro ſuo quiſque merito accipientes: itemque pallacas Perſarum, et aurum et argentum et reliquas

opes cum jumentis. Quae autem eximia data ſint iis qui optimam operam navaverant ad Plataeas, refertur a nemine, data tamen illis fuiſſe arbitror: certe Pauſaniae ſunt ex omnibus dena, et ea delecta, dono data, ex mulieribus, equis, talentis, camelis, et item ex ceteris rebus.

81. Feruntur autem haec quoque acta eſſe: Xerxem, dum e Graecia fugit, omnem apparatum ſuum Mardonio reliquiſſe: et Pauſaniam dum eum apparatum videt, ex auro argentoque et velariis diverſicoloribus confectum, juſſiſſe piſtores et coquos coenam ſibi uti Mardonio inſtruere. quod quum illi ex juſſu feciſſent, tum Pauſaniam lectos intuentem aureos argenteoſque probe ſtratos, menſas etiam aureas ac argenteas, magnifi-

χρυσὸν, κ̀ τὸν ἄργυρον, κ̀ ἄλλα χρήματά τε κ̀ ὑποζύγια. ὅσα μέν νυν ἐξαίρεῖα τοῖσι ἀριςεύσασι αὐτέων ἐν Πλαταιῆσι ἐδόθη, οὐ λέγεται πρὸς ὐδαμῶν, δοκέω δ' ἔγωγε καὶ τούτοισι δοθῆναι. Παυσανίῃ δὲ πάντα δέκα ἐξαιρέθη τε καὶ ἐδόθη, γυναῖκες, ἵπποι, τάλαντα, κάμηλοι, ὡς δὲ αὔτως καὶ τἆλλα χρήματα.

πα'. Λέγεται δὲ κ̀ τάδε γενέσθαι, ὡς Ξέρξης φεύγων ἐκ τῆς Ἑλλάδος, Μαρδονίῳ τὴν κατασκευὴν καταλίποι τὴν ἑωϋτοῦ· Παυσανίην ὦν ὁρέοντα τὴν Μαρδονίου κατασκευὴν χρυσῷ τε καὶ ἀργύρῳ κ̀ παραπετάσμασι ποικίλοισι κατεσκευασμένην, κελεῦσαι τοὺς τε ἀρτοκόπους καὶ τοὺς ὀψοποιοὺς κατὰ ταυτὰ καθὼς Μαρδονίῳ δεῖπνον παρασκευάζειν. ὡς δὲ κελευόμενοι οὗτοι ἐποίευν ταῦτα, ἐνθαῦτα τὸν Παυσανίην ἰδόντα κλίνας τε χρυσέας κ̀ ἀργυρέας εὖ ἐςρωμένας, κ̀ τραπέζας χρυσέας κ̀ ἀργυρέας, κ̀ παρασκευὴν με-

γαλοπρεπέα τοῦ δείπνου, ἐκπλαγένἰα τὰ προκείμενα ἀγαθὰ, κελεῦσαι ἐπὶ γέλωτι τοὺς ἑωϋτοῦ διηκόνους παρασκευάσαι Λακωνικὸν δεῖπνον. ὡς δὲ τῆς θοίνης ποιηθείσης ἦν πολλὸν τὸ μέσον, τὸν Παυσανίην γελάσανἰα μεἰαπέμψασθαι τῶν Ἑλλήνων τοὺς στρατηγούς· συνελθόντων δὲ τουτέων, εἶπαι τὸν Παυσανίην, δεικνύνἰα ἐς ἑκατέρην τοῦ δείπνου τὴν παρασκευὴν, ' Ἄνδρες Ἕλληνες, τῶνδε εἵνεκα ἐγὼ ὑμέας ' συνήγαγον, βουλόμενος ὑμῖν τοῦδε τοῦ Μήδων βασιλῆος τὴν ἀφροσύνην δεῖξαι· ὃς ' τοιήνδε δίαιἰαν ἔχων, ἦλθε ἐς ἡμέας οὕτω ' οἰζυρὴν ἔχονἰας ἀπαιρησόμενος.' ταῦτα μὲν Παυσανίην λέγεἰαι εἶπαι πρὸς τοὺς στρατηγοὺς τῶν Ἑλλήνων.

πϛ'. Ὑστέρῳ μέντοι χρόνῳ μεἰὰ ταῦτα καὶ τῶν Πλαταιέων εὗρον συχνοὶ θήκας χρυσοῦ καὶ ἀργύρου, καὶ τῶν ἄλλων χρημάτων. ἐφάνη δὲ καὶ τόδε ὕστερον ἐπὶ τουτέων τῶν νεκρῶν περιψιλωθέντων τὰς

cumque coenae apparatum, propositis bonis stupefactum, imperasse ad risum suis ministris ut Laconicam instruerent coenam. Ea quum esset parata et pateret magnum intervallum, ibi eundem cachinnantem arcessivisse Graecorum duces, eisque ubi convenerunt, inter ostendendum utrumque coenae apparatum, dixisse, 'Viri Graeci, hac ego vos de caussa convocavi, quod volebam vobis amentiam hujus Medorum regis ostendere, qui quum talem vitam duceret, ad nos spoliandos venit qui tam misere victitamus.' Haec Pausanias apud Graecorum duces dixisse fertur.

82. Interjecto deinde tempore complures Plataeensium repererunt loculos auri argentique et aliarum pecuniarum. Hoc quoque rei apparuit postmodum in his cadaveribus carne nudatis, ut quum eorum ossa comportarent unum in locum

Plataeenses, inventum sit caput nullam suturam habens, sed ex uno osse solidum; item maxilla, cum eo quod super maxillam est, habens dentes, etsi distinctos, tamen ex uno osse universos tam molares quam ceteros. quinetiam ossa viri quinque cubitorum.

83. Postquam vero cadaver Mardonii altero die subductum fuit, a quo hominum certum non habeo dicere, audivi tamen jam multos, immo omnigenas sepelisse Mardonium; et ob id multos scio ingentia dona ab Artonta Mardonii filio accepisse. Sed quis illorum curam susceperit cadaveris Mardonii subtrahendi et humandi, pro comperto non possum sciscitari. habet tamen nonnihil famae Dionysiophanes vir Ephesius sepelisse Mardonium. At hic quidem hoc modo tumulatus est.

σάρκας· συνεφόρεον γὰρ τὰ ὀςέα οἱ Πλαταιέες ἐς ἕνα χῶρον· εὑρέθη κεφαλὴ ἐκ ἔχεσα ῥαφὴν ἐδεμίην, ἀλλὰ ἐξ ἑνὸς ἐεσα ὀςέε. ἐφάνη δὲ καὶ γνάθος, καὶ τὸ ἄνω[d] τῆς γνάθε, ἔχεσα ὀδόντας μενοφυέας, ἐξ ἑνὸς ὀςέε πάντας τές τε ὀδόντας καὶ τὲς γομφίες· καὶ πενταπήχεος ἀνδρὸς ὀςέα ἐφάνη.

πγʹ. Επείτε δὲ Μαρδονίε δευτέρη ἡμέρη ὁ νεκρὸς ἠφάνιςο[e], ὑπὸ ὅτεω μὲν ἀνθρώπων, τὸ ἀτρεκὲς ἐκ ἔχω εἶπαι· πολλὲς δέ τινας ἤδη ϗ παντοδαπὲς ἤκεσα θάψαι Μαρδόνιον, καὶ δῶρα μεγάλα οἶδα λαβόντας πολλὲς παρὰ Αρτόντεω τε Μαρδονίε παιδὸς διὰ τετο τὸ ἔργον· ὅςις μέντοι ἦν αὐτέων ὁ ὑπελόμενός τε καὶ θάψας τὸν νεκρὸν τὸν Μαρδονίε, ἐ δύναμαι ἀτρεκέως πυθέσθαι. ἔχει δέ τινα φάτιν καὶ Διονυσιοφάνης, ἀνὴρ Εφέσιος, θάψαι Μαρδόνιον. ἀλλ' ὁ μὲν τρόπῳ τοιέτῳ ἐτάφη.

[d] τὸ ἐπάνω. [e] ἠφάνιςαι.

πδ΄. Οἱ δὲ Ἕλληνες ὡς ἐν Πλαταιῆσι τὴν ληΐην διείλοντο, ἔθαπτον τοὺς ἑωϋτῶν, χωρὶς ἕκαστοι. Λακεδαιμόνιοι μὲν τριξὰς ἐποιήσαντο θήκας. ἔνθα μὲν τὺς ἰρέας ἔθαψαν, τῶν καὶ Ποσειδώνιος καὶ Ἀμομφάρετος ἔσαν καὶ Φιλοκύων τε καὶ Καλλικράτης. ἐν μὲν δὴ ἑνὶ τῶν τάφων ἔσαν οἱ ἰρέες, ἐν δὲ τῷ ἑτέρῳ, οἱ ἄλλοι Σπαρτιῆται· ἐν δὲ τῷ τρίτῳ, οἱ εἵλωτες. ὗτοι μὲν ὕτω ἔθαπτον· Τεγεῆται δὲ χωρὶς πάντας ἀλέας[f]· καὶ Ἀθηναῖοι τὺς ἑωϋτῶν ὁμῦ, καὶ Μεγαρέες τε καὶ Φλιάσιοι τὺς ὑπὸ τῆς ἵππυ διαφθαρέντας. τυτέων μὲν δὴ πάντων πλήρεες ἐγένοντο οἱ τάφοι. τῶν δὲ ἄλλων ὅσοι καὶ φαίνονται ἐν Πλαταιῆσι ἐόντες τάφοι, τύτυς δὴ, ὡς ἐγὼ πυνθάνομαι, ἀπαισχυνομένυς[g] τῇ ἀπεςοῖ τῆς μάχης, ἑκάςυς χώματα χῶσαι κοινὰ, τῶν ἐπιγινομένων εἵνεκα ἀνθρώπων. ἐπεὶ καὶ Αἰγινητέων ἐςὶ αὐτόθι καλεόμενος τάφος, τὸν ἐγὼ ἀκύω

[f] πάντας ἔθαψαν ἀλέας. [g] ἐπαισχυνομένυς.

84. Graeci vero, posteaquam praedam Plataeensem dispertierunt, caesos separatim quisque suos tumularunt. Lacedaemonii, tribus sepulcris effectis, in eorum uno sacerdotes, e quibus fuere Posidonius et Amompharetus et Philocyon et Callicrates. In uno igitur sepulchrorum fuerunt sacerdotes; in altero reliqui Spartiatae, in tertio helotae. Sic quidem illi humaverunt: Tegeatae vero seorsum omnes confertos, et Athenienses suos simul, nec non Megarenses atque Phliasii suos ab equitatu interemptos. Horum igitur quidem omnium sepulcra fuerunt repleta. At aliorum sepulcra quotquot ad Plataeas ostenduntur, illi sunt (quantum ego accipio) tumuli ab iis singulis excitati communiter, qui erubescebant se a pugna abfuisse, respectu posterorum hominum. Quippe tumulus illic est etiam qui dicitur Aeginetarum: quem ego au-

dio vel decem post hanc pugnam annis rogatu Aeginetarum a Cleade Autodici filio, viro Plataeensi, illorum hospite aggeratum fuisse.

85. Graecis statim a caesorum humatione in agro Plataeensi, inito consilio visum est bellum Thebis inferendum, exposcendumque eos qui cum Medis sensissent: et in primis Timegenidem et Attaginum, qui principes factionis inter primos extitissent; et, ni eos dedidissent, non prius ab urbe discedendum quam eam evertissent. Hoc ubi decrevere, undecimo a pugna die moventes obsedere Thebanos, jubentes dedere quos diximus viros. Abnuentibus dedere Thebanis, agrum eorum populabantur, murumque adoriebantur.

86. Quorum ager quum continenter vastaretur, vicesimo die Timegenides ad populares ita inquit: ' Viri Thebani,

καὶ δέκα ἔτεσι ὕστερον μετὰ ταῦτα, δεηθέντων Αἰγινητέων, χῶσαι Κλεάδην[a] τὸν Αὐτοδίκου, ἄνδρα Πλαταιέα, πρόξεινον ἐόντα ἑωϋτῶν.

πέ. Ὡς δ᾽ ἄρα ἔθαψαν τοὺς νεκροὺς ἐν Πλαταιῇσι οἱ Ἕλληνες, αὐτίκα βουλευομένοισί σφι ἐδόκεε στρατεύειν[b] ἐπὶ τὰς Θήβας, καὶ ἐξαιτέειν αὐτέων τοὺς μηδίσαντας· ἐν πρώτοισι δὲ αὐτέων, Τιμηγενίδην, καὶ Ατταγῖνον, οἳ ἀρχηγέται ἀνὰ πρώτους ἔσαν· ἢν δὲ μὴ ἐκδιδῶσι, μὴ ἀπανίστασθαι ἀπὸ τῆς πόλιος πρότερον ἢ ἐξέλωσι. ὡς δέ σφι ταῦτα ἔδοξε, οὕτω δὴ ἑνδεκάτῃ ἡμέρῃ ἀπὸ τῆς συμβολῆς ἀπικόμενοι ἐπολιόρκεον Θηβαίους, κελεύοντες ἐκδιδόναι τοὺς ἄνδρας. οὐ βουλομένων δὲ τῶν Θηβαίων ἐκδιδόναι, τήν τε γῆν αὐτέων ἔταμνον καὶ προσέβαλλον πρὸς τὸ τεῖχος.

πϛ'. Καὶ, οὐ γὰρ ἐπαύοντο σινόμενοι, εἰκοστῇ ἡμέρῃ ἔλεξε τοῖσι Θηβαίοισι Τιμηγενίδης τάδε, ‘ Ανδρες Θηβαῖοι, ἐπειδὴ

[a] MS. Αλεάδην. [b] στρατεύεσθαι.

‘ οὕτω δέδοκται τοῖσι Ἕλλησι, μὴ πρότε-
‘ ρον ἀπαναστῆναι πολιορκέοντας, πρὶν[c] ἢ
‘ ἐξέλωσι Θήβας, ἢ ἡμέας αὐτοῖσι παρα-
‘ δῶτε, νῦν ὦν ἡμέων εἵνεκα γῆ ἡ Βοιω-
‘ τίη πλέω μὴ ἀναπλήσῃ[d]. ἀλλ’ εἰ μὲν
‘ χρημάτων χρήζοντες, πρόσχημα ἡμέας
‘ ἐξαιτέονται, χρήματά σφι δῶμεν ἐκ τοῦ
‘ κοινοῦ. σὺν γὰρ τῷ κοινῷ καὶ ἐμηδίσαμεν,
‘ οὐ δὴ μοῦνοι ἡμέες. εἰ δὲ ἡμέων ἀληθέως
‘ δεόμενοι πολιορκέουσι, ἡμεῖς ἡμέας αὐτοὺς
‘ ἐς ἀντιλογίην παρέξομεν.’ κάρτα τε ἔδοξε εὖ λέγειν, καὶ ἐς καιρόν· αὐτίκα τε ἐπεκηρυκεύοντο πρὸς Παυσανίην οἱ Θηβαῖοι, θέλοντες ἐκδιδόναι τοὺς ἄνδρας.

πζ΄. Ὡς δὲ ὡμολόγησαν ἐπὶ τούτοισι, Ατταγῖνος μὲν ἐκδιδρήσκει ἐκ τοῦ ἄστεος, παῖδας δὲ αὐτοῦ ἀπαχθέντας Παυσανίης ἀπέλυσε τῆς αἰτίης, φὰς τοῦ μηδισμοῦ παῖδας οὐδὲν εἶναι μεταιτίους. τοὺς δὲ ἄλλους ἄνδρας τοὺς ἐξέδοσαν οἱ Θηβαῖοι, οἱ μὲν ἐδόκεον ἀντιλογίης τε κυρήσειν, καὶ

c Vox ista πρὶν non est in MS. d ἀναπλήσῃ.

'quandoquidem Graecis ita conſtitutum 'eſt, non prius abſcedere ab oppugna- 'tione Thebarum, quam aut eas expug- 'naverint, aut nos illis dedideritis, abſit 'ut noſtra cauſſa Boeoti ager amplius 'vexetur: ſed ſive per cauſſam depoſcen- 'di nos, pecunias cupiunt, pecunias eis 'e publico demus: nam et publice cum 'Medis ſenſimus, non autem nos ſoli. 'ſive revera depoſcentes nos urbem ob- 'ſident, nos ipſi nos in diſceptationem 'exhibemus.' Eum Thebani ſane probe et opportune loquutum arbitrantes, e veſtigio caduceatorem ad Pauſaniam miſere, velle ſe viros dedere.

87. Ea re inter eos conventa, Attaginus ex urbe profugit: cujus liberos ad ſe Pauſanias adductos culpa abſolvit, negans pueros factionis Medicae eſſe participes. Ceteri quos Thebani dedidere, ipſi quidem putabant ſe adepturos diſceptati-

onem, atque etiam intellexerant pecunia disjectum iri. Pausanias autem hoc ipsum suspicans fore, ubi accepit, dimissis omnibus sociorum copiis, etiam illos Corinthum deductos supplicio affecit.

88. Haec hactenus quae ad Plataeas et ad Thebas gesta sunt. Artabazum autem Pharnacis filium, ut e Plataeis fugiens porro se proripuerat, Thessali, quum ad ipsos venit, hospitio invitatum interrogabant de reliquo exercitu, ignari prorsus rei ad Plataeas gestae. Iste intelligens, si omnem veritatem pugnarum illis referret, aditurum se vitae discrimen cum suo exercitu; fore enim ut unusquisque cognita re ipsum adoriretur: haec considerans, nec apud Phocenses retulerat quippiam, et tunc ad Thessalos ita loquutus est: 'Equidem, viri Thessali, maturo (ut 'cernitis) quam celerrime pervenire in

δὴ χρήμασι ἐπεπύθεον[c] διωθέεσθαι. ὁ δὲ, ὡς παρέλαβε, αὐτὰ ταῦτα ὑπονοέων, τὴν στρατιὴν τὴν τῶν συμμάχων ἅπασαν ἀπῆκε, καὶ ἐκείνους ἀγαγὼν ἐς Κόρινθον διέφθειρε.

πή. Ταῦτα μὲν τὰ ἐν Πλαταιῇσι καὶ Θήβῃσι γινόμενα. Αρτάβαζος δὲ ὁ Φαρνάκεος, φεύγων ἐκ Πλαταιέων, καὶ δὴ πρόσω ἐγίνετο. ἀπικόμενον δέ μιν οἱ Θεσσαλοὶ παρὰ σφέας, ἐπί τε ξείνια ἐκάλεον, καὶ ἀνηρώτευν περὶ τῆς στρατιῆς τῆς ἄλλης, οὐδὲν ἐπιστάμενοι τῶν ἐν Πλαταιῇσι γενομένων. ὁ δὲ Αρτάβαζος, γνοὺς ὅτι εἰ ἐθέλοι σφι πᾶσαν τὴν ἀληθηΐην τῶν ἀγώνων εἶπαι, αὐτός τε κινδυνεύσει ἀπολέσθαι καὶ ὁ μετ' αὐτοῦ στρατός· ἐπιθήσεσθαι γάρ οἱ πάντα τινὰ οἴετο πυνθανόμενον τὰ γεγονότα· ταῦτα ἐκλογιζόμενος, οὔτε πρὸς τοὺς Φωκέας ἐξηγόρευε οὐδὲν, πρός τε τοὺς Θεσσαλοὺς ἔλεγε τάδε, ‘ Εγὼ μὲν, ‘ ὦ ἄνδρες Θεσσαλοὶ, ὡς ὁρᾶτε, ἐπείγο-

[c] ἐπιστάθεισαν.

‛ μαί τε κατὰ τὴν ταχίςην ἐλῶν[a] ἐς ‛ Θρηΐκην, καὶ σπȣδὴν ἔχω, πεμφθεὶς ‛ κατά τι πρῆγμα ἐκ τȣ̃ ςρατοπέδȣ μετὰ ‛ τῶνδε. αὐτὸς δὲ ὑμῖν Μαρδόνιος, καὶ ὁ ‛ ςρατὸς αὐτȣ̃ ȣ̃τος κατὰ πόδας ἐμεῦ[b] ‛ ἐλαύνων, προσδόκιμός ἐςι. τȣ̃τον ϗ ξει‛ νίζετε[c], ϗ εὖ ποιεῦντες φαίνεσθε. ȣ̓ γὰρ ‛ ὑμῖν ἐς χρόνον ταῦτα ποιεῦσι μεταμε‛ λήσει.’ ταῦτα δὲ εἴπας, ἀπέλαυνε σπȣδῇ τὴν ςρατιὴν διὰ Θεσσαλίης τε ϗ Μακεδονίης ἰθὺ τῆς Θρηΐκης, ὡς ἀληθέως ἐπειγόμενος, ϗ τὴν μεσόγαιαν τάμνων τῆς ὁδȣ̃. καὶ ἀπικνέεται ἐς Βυζάντιον, καταλιπὼν τȣ̃ ςρατȣ̃ τȣ̃ ἑωϋτȣ̃ συχνȣ̀ς ὑπὸ Θρηΐκων τε κατακοπέντας κατ’ ὁδὸν, ϗ λιμῷ συςάντας ϗ καμάτῳ. ἐκ Βυζαντίȣ δὲ διέβη πλοίοισι. αὐτὸς μὲν ȣ̃τω ἀπενόςησε ἐς τὴν Ασίην.

πθʹ. Τῆς δὲ αὐτῆς ἡμέρης τῆς περ ἐν Πλαταιῇσι τὸ τρῶμα ἐγένετο, συνεκύρησε γενέσθαι ϗ ἐν Μυκάλῃ τῆς Ιωνίης.

[a] ἐλθὼν. [b] πόδας μȣ. [c] τȣ̃τον ξεινίζετε.

'Thraciam, idque operam do missus ex
'castris cum hac exercitus parte ad quod-
'dam negotium. Mardonius autem ipse
'cum suo exercitu, meis vestigiis insistens,
'exspectandus est, cui et hospitium et of-
'ficium praestate. non enim vos in tem-
'pus haec praestitisse poenitebit.' Haec fatus, copias festinabundus per Thessaliam Macedoniamque agebat, recta Thraciam versus, tanquam vere properans: ac regionem mediterraneam viae praecidens pervenit Byzantium, permultis sui exercitus in itinere relictis, qui vel a Thracibus obtruncati fuerunt, vel fame atque labore enecti. Ex Byzantio navigiis transmisit. Hunc in modum iste quidem rediit in Asiam.

89. Quo autem die ad Plataeas vulnus illatum est, ea die contigit et apud Mycalen Ioniae inferri: quum apud De-

lon Graeci confiderent, ii qui una cum Leutychide Lacedaemonio navibus venerant, eo appulfi funt e Samo legati, Lampon Thrafyclis et Athenagoras Archeftratidae et Hegefiftratus Ariftagorae filii, miffi a Samiis clam Perfis ac tyranno Theomeftore Androdamantis filio, quem Perfae tyrannum Sami conftituerant. Hi quum adierunt duces, verba fecit Hegefiftratus multa et varia: Fore enim ut fi tantummodo viderent hos Iones, a Perfis deficerent, nec barbari manerent: etiam, ut manerent, tamen fore ut non aliam praedam talem ifti reperirent. Praeterea deos communes invocans obfecrabat, ut Graecos Graeci liberarent ex fervitute, ulcifcerenturque barbarum. quae facilia eis dicebat factu effe, quia naves illorum fegnes effent ad curfum, nec pares Graecis ad proelium. Siquid vero apud hos

ἐπειδὴ γὰρ ἐν τῇ Δήλῳ ἐκατέατο οἱ Ἕλληνες, οἱ ἐν τῇσι νηυσὶ ἅμα Λευτυχίδῃ τῷ Λακεδαιμονίῳ ἀπικόμενοι, ἦλθόν σφι ἄγγελοι ἀπὸ Σάμου, Λάμπων τε Θρασυκλῆος, καὶ Ἀθηναγόρης Ἀρχεστρατίδεω, καὶ Ἡγησίστρατος Ἀρισταγόρεω, πεμφθέντες ὑπὸ Σαμίων λάθρη τῶν τε Περσέων καὶ τοῦ τυράννου Θεομήστορος [d] τοῦ Ανδροδάμαντος, τὸν κατέστησαν Σάμου τύραννον οἱ Πέρσαι. ἐπελθόντων δέ σφεων ἐπὶ τοὺς στρατηγοὺς, ἔλεγε Ἡγησίστρατος πολλὰ καὶ παντοῖα· ὡς ἢν μοῦνον ἴδωνται αὐτοὺς οἱ Ἴωνες, ἀποστήσωνται ἀπὸ Περσέων, καὶ ὡς οἱ βάρβαροι οὐκ ὑπομενέουσι· ἢν δὲ καὶ ἄρα ὑπομείνωσι [e], οὐκ ἑτέρην ἄγρην τοιαύτην εὑρεῖν ἂν αὐτούς. θεοὺς τε κοινοὺς ἀνακαλέων, προέτρεπε αὐτοὺς ῥύσασθαι ἄνδρας Ἕλληνας ἐκ δουλοσύνης, καὶ ἀπαμῦναι τὸν βάρβαρον· εὐπετές τε αὐτοῖσι ἔφη ταῦτα γίνεσθαι· τάς τε γὰρ νῆας αὐτέων κακῶς πλέειν, καὶ οὐκ ἀξιομάχους

d MS. Θεομήτορος. e ὑπομίνωσι.

κείνοισι εἶναι. αὐτοί τε εἴ τι ὑποπλεῦσι μὴ δόλῳ αὐτὰς προάγοιεν, ἐν τῇσι νηυσὶ ἑτοῖμοι εἶναι τῇσι ἐκείνων ἀγόμενοι ὅμηροι εἶναι.

Ϟ΄. Ὡς δὲ πολλὸς ἦν λιστόμενος ὁ ξεῖνος ὁ Σάμιος, εἴρετο Λευτυχίδης, (εἴτε κλήδονος εἵνεκε θέλων πυθέσθαι, εἴτε καὶ κατὰ συντυχίην, θεοῦ ποιεῦντος) ‘ Ὦ ξεῖνε ‘ Σάμιε, τί τοι τὸ οὔνομα; ὁ δὲ εἶπε, Ἡ- ‘ γησίστρατος.’ ὁ δὲ, ὑπαρπάσας τὸν ἐπίλοιπον λόγον, εἴ τινα ὥρμητο λέγειν ὁ Ἡγησίστρατος, εἶπε, ‘ Δέκομαι τὸν οἰω- ‘ νὸν τὸν Ἡγησιστράτου, ὦ ξεῖνε Σάμιε· ‘ σὺ δὲ ἡμῖν ποίεε ὅκως αὐτός τε δοὺς πί- ‘ στιν ἀποπλεύσεαι, καὶ οἱ σὺν σοὶ ἐόντες ‘ οἵδε, ἦ μὴν Σαμίους ἡμῖν προθύμως ἔσε- ‘ σθαι συμμάχους.’

Ϟα΄. Ταῦτά τε ἅμα ἠγόρευε, καὶ τὸ ἔργον προσῆγε. αὐτίκα γὰρ οἱ Σάμιοι πίστιν τε καὶ ὅρκια ἐποιεῦντο συμμαχίης πέρι πρὸς τοὺς Ἕλληνας. ταῦτα δὲ ποιή-

ſuſpicionis ſubeſſet, ne dolo ipſos deducerent, dicere paratos eſſe ſe ut in horum navibus pro obſidibus veherentur.

90. In his obſecrandis quum multus eſſet hoſpes Samius, ſciſcitabatur Leutychides, (ſive ominis gratia volens audire, ſive caſu, deo agente) 'Samie hoſpes, 'quod eſt tibi nomen? Ille reſpondet, 'Hegeſiſtrato.' Leutychides interpellata reliqua oratione, ſi quam inſtituerat, 'Accipio, inquit, omen Hegeſiſtrati, hoſpes 'Samie; effice tu, ut et ipſe fide data 'abnaviges, et iſti qui tecum ſunt, certe 'Samios promptos fore nobis ſocios.'

91. Haec loquutus, et rem pariter exequi aggreſſus eſt. nam quum Samii extemplo fidem interpoſito etiam jurejurando dediſſent de ſocietate cum Graecis,

Leutychides dimissis domum ceteris legatis, jussit eum, cujus nomen pro augurio acceperat, secum navigare. Graeci cum illic diem commorati, postridie pulchre litavere, haruspice Deiphono Euenii filio Apolloniata, ex Apollonia quae est in sinu Ionio.

92. Hujus patri Euenio res hujusmodi contigit. Sunt in hac Apollonia sacrae solis oves, quae interdiu secundum flumen pascuntur, quod e monte Lacmone per Apolloniatem agrum fluit in mare juxta Oricum portum. noctu autem delecti viri, divitiis et genere inter populares suos splendidissimi, illi custodiunt singulis annis singuli; nam ex oraculo quodam Apolloniatae eas oves permagni faciunt. Stabulantur autem in antro procul ab urbe. Ibi Euenius hic, quum aliquando delectus ad custodiendas

σαντες, οἱ μὲν ἀπέπλεον· (μετά σφεων γὰρ ἐκέλευε πλέειν[f] τὸν Ἡγησίστρατον, οἰωνὸν τὸ οὔνομα ποιεύμενος) οἱ δὲ Ἕλληνες, ἐπισχόντες ταύτην τὴν ἡμέρην, τῇ ὑστεραίῃ ἐκαλλιερέοντο, μαντευομένου σφι Δηϊφόνου τοῦ Εὐηνίου, ἀνδρὸς Ἀπολλωνιήτεω, Ἀπολλωνίης δὲ τῆς ἐν τῷ Ἰονίῳ κόλπῳ.

ϞϚʹ. Τοῦτου τὸν πατέρα κατέλαβε Εὐήνιον πρῆγμα τοιόνδε· ἔστι ἐν τῇ Ἀπολλωνίῃ ταύτῃ ἱρὰ ἡλίου πρόβατα, τὰ τὰς μὲν ἡμέρας βόσκεται παρὰ ποταμὸν, ὃς ἐκ Λάκμωνος οὔρεος ῥέει διὰ τῆς Ἀπολλωνίης χώρης ἐς θάλασσαν, παρ' Ὤρικον λιμένα· τὰς δὲ νύκτας ἀραιρημένοι ἄνδρες οἱ πλούτῳ τε καὶ γένεϊ δοκιμώτατοι τῶν ἀστῶν, οὗτοι φυλάσσουσι ἐνιαυτὸν ἕκαστος. περὶ πολλοῦ γὰρ δὴ ποιεῦνται Ἀπολλωνιῆται τὰ πρόβατα ταῦτα, ἐκ θεοπροπίου τινός. ἐν δὲ ἄντρῳ αὐλίζονται ἀπὸ τῆς πόλιος ἑκάς. ἔνθα δὴ τότε ὁ Εὐήνιος οὗτος ἀραιρημένος ἐφύλασσε· καί κοτε αὐτοῦ

f ποιέειν.

κατακοιμήσαντος τὴν φυλακὴν, παρελθόντες λύκοι ἐς τὸ ἄντρον, διέφθειραν τῶν προβάτων ὡς ἑξήκοντα. ὁ δὲ, ὡς ἐπήϊσε, εἶχε σιγῇ, καὶ ἔφραζε ὀυδενὶ, ἐν νόῳ ἔχων ἀντικαταστήσειν ἄλλα πριάμενος. καὶ ὀυ γὰρ ἔλαθε τοὺς Απολλωνιήτας ταῦτα γενόμενα· ἀλλ᾿ ὡς ἐπύθοντο, ὑπαγαγόντες μιν ὑπὸ δικαστήριον[g], κατέκριναν, ὡς τὴν φυλακὴν κατακοιμήσαντα, τῆς ὄψιος στερηθῆναι. ἐπεί τε δὲ τὸν Εὐήνιον ἐξετύφλωσαν, αὐτίκα μετὰ ταῦτα ὄυτε πρόβατά σφι ἔτικτε, ὄυτε γῆ ἔφερε ὁμοίως καρπόν. πρόφαντα δέ σφι ἔν τε Δωδώνῃ καὶ ἐν Δελφοῖσι ἐγίνετο. ἔπειτα ἐπειρώτευν τοὺς προφήτας τὸ αἴτιον τοῦ παρεόντος κακοῦ. οἱ δὲ αὐτοῖσι ἔφραζον ὅτι ἀδίκως τὸν φύλακον τῶν ἱρῶν προβάτων Εὐήνιον τῆς ὄψιος ἐστέρησαν. αὐτοὶ γὰρ ἐπορμῆσαι τοὺς λύκους· ὀυ πρότερόν τε παύσεσθαι τιμωρέοντες ἐκείνῳ, πρὶν ἢ δίκας δῶσι τῶν ἐποίησαν, ταύτας τὰς

[g] ἐς τὸ δικαστήριον.

oves non excubaret vigilans, ſed obdormiſſet, ingreſſi antrum lupi oves circiter ſexaginta trucidarunt. Id ubi iſte animadvertit, rem ſuppreſſit, neminique aperuit, habens in animo totidem mercari, quas ſubſtitueret. at Apolloniatae ubi acceperunt (neque enim eos quod geſtum erat latuit) adductum in judicium Euenium condemnaverunt, ut, quia vigiliam edormiſſet, viſu privaretur. Quem poſteaquam excaecaverunt, mox eis neque pecora foetificabant, neque humus pro conſuetudine fructum ferebat. Erant autem illis praedicta et in Dodona et in Delphis. Interrogati mox prophetae de cauſſa mali praeſentis, reſponderunt illis cauſſam eſſe, quia cuſtodem ſacrarum ovium Euenium inique luminibus orbaſſent. ſe enim immiſiſſe lupos: nec prius ab illius ultione ceſſaturos quam ei ſatisfeciſſent de iis quae in eum perpetraſſent, prout ipſe ſibi ſuo

arbitrio ſatisfactum putaret. His perfectis, daturos ſe Euenio tale donum, quod habentem plerique hominum putarent beatum.

93. Haec Apolloniatis ſunt reddita oracula. Quae Apolloniatae ſilentio ſupprimentes, quibuſdam e civibus exequenda delegaverunt. Iſti hunc in modum putarunt exequenda: Euenium in ſella ſedentem adeunt, eique aſſidentes aliis de rebus verba faciunt, donec deveniunt ad miſerandam hominis calamitatem. Ita introducta ejus rei mentione, percontantur quam mulctam ejus injuriae optaret, ſi eam promitterent pendere Apolloniatae. Hic, qui oraculum non audiſſet, ſe optare dixit duo praedia civium, quos nominabat, quorum patrimonia omnium Apolloniatarum putabat eſſe pulcherrima, et praeterea domicilium quod in urbe ſciebat eſſe optimum. Horum ſi compos ef-

ἂν αὐτὸς ἕληται καὶ δικαιοῖ. τουτέων δὲ τελεομένων, αὐτοὶ δώσειν Εὐηνίῳ δόσιν τοιαύτην τὴν πολλούς μιν μακαριεῖν ἀνθρώπων ἔχοντα.

4γ΄. Τὰ μὲν χρηστήρια ταῦτά σφι ἐχρήσθη. οἱ δὲ Ἀπολλωνιῆται, ἀπόρρητα ποιησάμενοι, προέθεσαν τῶν ἀστέων ἀνδράσι διαπρῆξαι. οἱ δέ σφι διέπρηξαν ὧδε· κατημένου Εὐηνίου ἐν θώκῳ, ἐλθόντες οἱ παρίζοντο, καὶ λόγους ἄλλους ἐποιεῦντο· ἐς ὃ κατέβαινον συλλυπεύμενοι τῷ πάθεϊ. ταύτῃ δὲ ὑπάγοντες, ἠρώτεον τίνα δίκην ἂν ἕλοιτο, εἰ ἐθέλοιεν Ἀπολλωνιῆται δίκας ὑποστῆναι δώσειν τῶν ἐποίησαν. ὁ δὲ, οὐκ ἀκηκοὼς τὸ θεοπρόπιον, εἵλετο, εἴπας, εἴ τίς οἱ δοίη ἀγρούς· τῶν ἀστῶν ὀνομάσας, τοῖσι ἠπίστατο εἶναι καλλίστους δύο κλήρους τῶν ἐν τῇ Ἀπολλωνίῃ· καὶ οἴκησιν πρὸς τούτοισι, τὴν ᾔδεε καλλίστην ἐοῦσαν τῶν ἐν τῇ πόλι. τουτέων δὲ ἔφη ἐπήβολος γε-

νόμενος, τοῦ λοιποῦ ἀμήνιτος εἶναι, καὶ δίκην οἱ ταύτην ἀποχρᾶν γενομένην. καὶ ὁ μὲν ταῦτα ἔλεγε. οἱ δὲ πάρεδροι εἶπαν ὑπολαβόντες, ‘ Εὐήνιε, ταύτην ‘ δίκην Ἀπολλωνιῆται τῆς ἐκτυφλώσιος ‘ ἐκτίνουσί τοι κατὰ τὰ θεοπρόπια τὰ ‘ γενόμενα.’ ὁ μὲν δὴ πρὸς ταῦτα, δεινὰ ἐποιέετο, ἐνθεῦτεν πυθόμενος τὸν πάντα λόγον, ὡς ἐξαπατηθείς. οἱ δὲ, πριάμενοι παρὰ τῶν ἐκτημένων, διδοῦσί οἱ τὰ εἵλετο. καὶ μετὰ ταῦτα αὐτίκα ἔμφυτον μαντικὴν εἶχε, ὥστε καὶ οὐνομαστὸς γενέσθαι.

ϟδʹ. Τούτου δὴ ὁ Δηΐφονος ἐὼν παῖς τοῦ Εὐηνίου, ἀγόντων Κορινθίων, ἐμαντεύετο τῇ στρατιῇ. ἤδη δὲ καὶ τόδε ἤκουσα, ὡς ὁ Δηΐφονος ἐπιβατεύων τοῦ Εὐηνίου οὐνόματος, ἐξελάμβανε ἐπὶ τὴν Ἑλλάδα ἔργα, οὐκ ἐὼν Εὐηνίου παῖς.

ϟεʹ. Τοῖσι δὲ Ἕλλησι ὡς ἐκαλλιέρησε, ἀνῆγον τὰς νῆας ἐκ τῆς Δήλου πρὸς

fectus esset, non infensum se posthac fore dicebat, sed hac satisfactione contentum. Hoc quum respondisset Euenius, tum ii qui ei assidebant, excipientes, 'Eueni, in-' quiunt, hanc tibi satisfactionem Apol-' loniatae pro ereptis oculis rependunt, ' ex oraculis redditis.' Euenius, ubi omnem rem audivit, indigno animo tulit sese fuisse deceptum. At cives ea praedia a dominis mercati, huic illa quae optaret dedere: qui mox deinde insitam divinationem obtinuit, unde celebratus fuit.

94. Hujus Euenii filius fuit Deiphonus, qui ductus a Corinthiis exercitui vaticinabatur. Jam vero illud quoque audivi, Deiphono negotium in Graecia fuisse exhibitum, quod se filium Euenii, cujus non esset, nuncuparet.

95. Ceterum postquam litavere Graeci, classem e Delo Samum versus solve-

runt: et quum Samum venissent ad Calamisa, illi quidem istic applicantes circa templum Junonis sese ad proelium navale parabant. Eos adnavigare quum Persae audivissent, et ipsi ceteras naves ad continentem reducunt, nisi quod Phoenicum naves abire permiserunt. deliberantes enim censebant pugnam navalem sibi non esse capessendam, quum pares hosti non esse sibi viderentur. In continentem igitur abnavigabant, ut essent sub suo pedestri exercitu qui in Mycale tendebat, ex mandato Xerxis ab aliis copiis relictus ad Ioniam tutandam, numero sexaginta millium, duce Tigrane, Persarum et specie et statura eminentissimo. Ad hunc exercitum constituerunt refugere duces classis, subductisque navibus, munimenta circumdare, in illarum praesidium suumque refugium,

τὴν Σάμον. ἐπεὶ δὲ ἐγένοντο τῆς Σαμίης πρὸς Καλαμίσοισι, οἱ μὲν αὐτοῦ ὁρμισάμενοι κατὰ τὸ Ἡραῖον τὸ ταύτη, παρεσκευάζοντο ὡς [a] ἐς ναυμαχίην· οἱ δὲ Πέρσαι, πυθόμενοί σφεας προσπλέειν, ἀνῆγον καὶ αὐτοὶ πρὸς τὴν ἤπειρον τὰς νῆας τὰς ἄλλας, τὰς δὲ Φοινίκων ἀπῆκαν ἀποπλέειν. βουλευομένοισι γάρ σφι ἐδόκεε ναυμαχίην μὴ ποιέεσθαι· οὐ γὰρ ὦν ἐδόκεον ὁμοῖοι εἶναι. ἐς δὲ τὴν ἤπειρον ἀπέπλεον [b], ὅκως ἔωσι ὑπὸ τὸν πεζὸν στρατὸν τὸν σφέτερον, ἐόντα ἐν τῇ Μυκάλῃ· ὃς, κελεύσαντος Ξέρξεω, καταλελειμμένος τοῦ ἄλλου στρατοῦ, Ἰωνίην ἐφύλασσε. τοῦ πλῆθος μὲν ἦν ἓξ μυριάδες· ἐστρατήγεε δὲ αὐτοῦ Τιγράνης, κάλλεΐ τε καὶ μεγάθεϊ ὑπερφέρων Περσέων. ὑπὸ τοῦτον [c] μὲν δὴ τὸν στρατὸν ἐβουλεύσαντο καταφυγόντες οἱ τοῦ ναυτικοῦ στρατηγοὶ ἀνειρύσαι τὰς νῆας, καὶ περιβαλέσθαι ἕρκος, ἔρυμα τῶν νεῶν, καὶ σφέων αὐτέων κρησφύγετον.

a Vocula ὡς abest ab MS. b Hoc verbum ἀπέπλεον quoque abest a MS. c ἐπὶ τοῦτον.

ϟϛ'. Ταῦτα βουλευσάμενοι ἀνήγοντο. ἀπικόμενοι δὲ παρὰ τὸ τῶν Ποτνιέων ἱρὸν τῆς Μυκάλης ἐς Γαίσωνά τε καὶ Σκολοπόεντα, τῇ Δήμητρος Ἐλευσινίης ἱρὸν, τὸ Φίλιστος ὁ Πασικλῆος ἱδρύσατο, Νείλεῳ τῷ Κόδρου ἐπισπόμενος ἐπὶ Μιλήτου κτιστύν· ἐνθαῦτα τάς τε νῆας ἀνείρυσαν, καὶ περιεβάλοντο ἕρκος καὶ λίθων καὶ ξύλων, δένδρεα ἐκκόψαντες ἥμερα, καὶ σκόλοπας περὶ τὸ ἕρκος κατέπηξαν. καὶ παρεσκευάδατο ὡς πολιορκησόμενοι, καὶ ὡς νικήσοντες. ἐπ' ἀμφότερα ἐπιλεγόμενοι γὰρ παρεσκευάδατο.

ϟζ'. Οἱ δὲ Ἕλληνες, ὡς ἐπύθοντο οἰχωκότας τοὺς βαρβάρους ἐς τὴν ἤπειρον, ἤχθοντο ὡς ἐκπεφευγότων. ἀπορίῃ τε εἴχοντο ὅ,τι ποιέωσι, εἴτε ἀπαλλάσσωνται ὀπίσω, εἴτε καταπλέωσι ἐπ' Ἑλλησπόντου. τέλος δ' ἔδοξε τουτέων μὲν μηδέτερα ποιέειν, ἐπιπλέειν δὲ ἐπὶ τὴν ἤπειρον. παρασκευασάμενοι ὦν ἐς ναυμαχίην καὶ

96. Hoc inito consilio, profecti sunt, et evecti prope Venerandarum templum Mycales ad Gaesonem et Scolopoëntem (ubi Cereris Eleusiniae cernitur templum, quod Philistus Pasiclis filius condidit, sequutus Neleum Codri filium ad Miletum condendam) ibi subductas naves munimento circumdederunt e saxis stipitibusque mitium arborum, quas exciderunt, et circum munitionem depactis sudibus. Ita se instruxerunt, tanquam et obsidendi et victoria potituri. in utrumque enim casum ratione inita sese parabant.

97. Barbaros abiisse in continentem postquam accepere Graeci, tanquam qui effugissent, aegre ferebant, incerti quid agerent, retrone se reciperent, an procederent in Hellespontum. Tandem neutrum horum visum est faciendum esse, sed navigandum versus continentem. Praeparatis igitur ad pugnam navalem et de-

ſcenſuum tabulis, aliiſque quibuſcunque opus erat, ad Mycalen navigant: et quum prope caſtra hoſtium fuere, neminem ex adverſo obviam navigare vident, ſed naves intra murum ſubductas, et magnam vim peditatus pro litore diſpoſitam. Ibi primum Leutychides in nave praetervehens, litori appropinquans quammaxime, Ionibus per praeconem imperabat, inquiens, 'Viri Iones, quicunque e vobis 'me exauditis, intelligite quae dico. nihil 'enim horum quae vobis mando intelli-'gent Perſae. Ubi pugnam conſerueri-'mus, primo quidem debetis reminiſci 'libertatis omnium: deinde teſſerae He-'bes. Atque hoc qui e vobis non audiit, 'ab eo qui audiit diſcat.' Facti autem eadem iſta mens fuit quae Themiſtoclis ad Artemiſium: quod videlicet haec verba, ſi laterent barbaros, perſuaſura Ioni-

ἀποβάθρας κ̓ ἄλλα ὅσων ἔδεε, ἔπλεον ἐπὶ τῆς Μυκάλης. ἐπεὶ δὲ ἀγχȣ͂ τε ἐγίνοντο τȣ͂ ϛρατοπέδȣ, κ̓ ȣ̓δεὶς ἐφαίνετό σφι ἐπαναγόμενος, ἀλλὰ ὥρων νῆας ἀνελκυσμένας ἔσω τȣ͂ τείχεος, πολλὸν δὲ πεζὸν παρακεκριμένον παρὰ τὸν αἰγιαλὸν, ἐνθαῦτα πρῶτον μὲν ἐν τῇ νηῒ παραπλέων, ἐγχρίμψας[d] τῷ αἰγιαλῷ ταμάλιϛα Λευτυχίδης, ὑπὸ κήρυκος προηγόρευε τοῖσι Ιωσι, λέγων, ‘ Ανδρες Ιωνες, οἳ ὑμέων ‘ τυγχάνȣσι ἐπακȣόντες, μάθετε τὰ λέγω. ‘ πάντως γὰρ ȣ̓δὲν συνήσȣσι Πέρσαι τῶν ‘ ἐγὼ ὑμῖν ἐντέλλομαι. ἐπεὰν συμμίσ‘ γωμεν, μεμνῆσθαί τινα χρὴ ἐλευθερίης ‘ μὲν πάντων πρῶτον· μετὰ δὲ, τȣ͂ συν‘ θήματος Ἥβης. καὶ τάδε ἴϛω κ̓ ὁ μὴ ‘ ἀκȣ́σας ὑμέων πρὸς τȣ͂ ἀκȣ́σαντος.’ Ωὗτος δὲ ȣ̓͂τος ἐὼν τυγχάνει νόος τȣ͂ πρήγματος καὶ ὁ Θεμιϛοκλῆος ὁ ἐπ' Αρτεμισίῳ. ἢ γὰρ δὴ λαθόντα τὰ ῥήματα τȣ̀ς βαρβάρȣς ἔμελλε τȣ̀ς Ιωνας πείσειν, ἢ

[d] ἰγχρίψας.

ἔπειτα ἀνενειχθέντα ἐς τȣ̀ς βαρβάρȣς, ποιήσειν ἀπίςȣς τοῖσι Ἕλλησι.

Ϟή. Λευτυχίδεω δὲ ταῦτα ὑποθεμένȣ, δεύτερα δὴ τάδε[e] ἐποίευν οἱ Ἕλληνες· προσχόντες τὰς νῆας, ἀπέβησαν ἐς τὸν αἰγιαλόν. καὶ ȣ̃τοι μὲν ἐτάσσοντο. οἱ δὲ Πέρσαι ὡς εἶδον τȣ̀ς Ἕλληνας παρασκευαζομένȣς ἐς μάχην, καὶ τοῖσι Ἴωσι παραινέσαντας, τȣ̃το μὲν, ὑπονοήσαντες τȣ̀ς Σαμίȣς τὰ Ἑλλήνων φρονέειν, ἀπαιρέονται τὰ ὅπλα. οἱ γὰρ ὦν Σάμιοι, ἀπικομένων Ἀθηναίων αἰχμαλώτων ἐν τῇσι νηυσὶ τῶν βαρβάρων, τȣ̀ς ἔλαβον ἀνὰ τὴν Ἀττικὴν λελειμμένȣς οἱ Ξέρξεω, τȣ́τȣς λυσάμενοι πάντας, ἀποπέμπȣσι ἐποδιάσαντες ἐς τὰς Ἀθήνας. τῶν εἵνεκεν ȣ̓κ ἥκιςα ὑποψίην ἔχον, πεντακοσίας κεφαλὰς τῶν Ξέρξεω πολεμίων λυσάμενοι. τȣ̃το δὲ, τὰς διόδȣς τὰς ἐς κορυφὰς τῆς Μυκάλης φερȣ́σας προστάσσȣσι τοῖσι Μιλησίοισι φυλάσσειν, ὡς ἐπιςαμένοισι δῆθεν μά-

[e] δεύτερα τάδε.

bus essent; sin mox delata ad barbaros, reddittura malefidos Graecis.

98. His per Leutychidem admonitis, secundum opus Graecorum fuit, ut naves litori admoventes in litus egrederentur. Et hi sese ad pugnandum instruebant. Quod facientes Graecos quum cernerent Persae, et scirent Ionas fuisse adhortatos, arma Samiis adimunt, suspicati illos sentire cum Graecis. Quippe Samii devectos illuc classe barbarorum Athenienses captivos, quos exceperat circa Atticam relictos miles Xerxis, redemerant eos omnes, Athenasque cum viatico remiserant. Quo nomine non minimum suspicionis attraxerant, qui quingenta capita hostium Xerxis liberaverant. Praeterea Milesiis, tanquam maxime loci istius gnaris, Persae imperant, ut tramites qui ad cacumina Mycales ferunt custodiant; eo consilio id facientes, ut Milesii extra exercitum es-

ſent. Hunc in modum ab iis Ionibus qui aliquid rerum novarum molituri videbantur, ſi facultatem nacti eſſent, Perſae ſibi praecaverunt. Iidem facto ex ſcutis vimineis ſepimento ſeſe conſtipaverant.

99. Graeci, ubi inſtructi fuere, ire in barbaros tendunt: quibus euntibus advolavit in univerſum exercitum rumor, caduceumque ſupra fluctus poſitum apparuit. Rumor autem hujuſmodi ad eos ferebatur, Graecos acie in Boeotia ſuperaſſe Mardonii copias. Multis nempe ſignis res quae divinitus fiunt, declarantur. ſi etiam tunc eodem die procedente utriuſque cladis, et ejus quae ad Plataeas, et ejus quae ad Mycalen futura erat, fama huc ad Graecos venit, ita ut reddiderit eos multo ferociores, et ad ſub-

λιςα τὴν χώρην. ἐποίευν δὲ τῦτυ εἵνεκεν, ἵνα ἐκτὸς τῦ ςρατοπέδυ ἔωσι. τύτυς μὲν Ἰώνων, τοῖσι κὴ κατεδόκεον νεοχμὸν ἄν τι ποιέειν, δυνάμιος ἐπιλαβομένοισι, τρόποισι το.. .οισι προεφυλάσσοντο οἱ Πέρσαι. αὐτοὶ δὲ συνεφόρησαν τὰ γέῤῥα ἕρκος εἶναί σφι.

Ϟθʹ. Ὡς δὲ ἄρα παρεσκευάδατο τοῖσι Ἕλλησι, προσήϊσαν[f] πρὸς τὺς βαρβάρυς. ἰῦσι δέ σφι Φήμη τε ἐσέπτατο ἐς τὸ ςρατόπεδον πᾶν, καὶ κηρυκήϊον ἐφάνη ἐπὶ τῆς κυματώγης κείμενον. ἡ δὲ Φήμη διῆλθέ σφι ὧδε, ὡς οἱ Ἕλληνες τὴν Μαρδονίυ ςρατιὴν νικῷεν ἐν Βοιωτοῖσι μαχόμενοι. δῆλα δὴ πολλοῖσι τεκμηρίοισί ἐςι τὰ θεῖα τῶν πρηγμάτων· εἰ καὶ τότε τῆς αὐτῆς ἡμέρης συμπιπτύσης, τῦ τε ἐν Πλαταιῇσι καὶ τῦ ἐν Μυκάλῃ μέλλοντος ἔσεσθαι τρώματος Φήμη τοῖσι Ἕλλησι τοῖσι ταύτῃ ἐσαπίκετο, ὥςτε θαρσῆσαί τε τὴν ςρατιὴν πολλῷ μᾶλλον,

[f] προσίεσαν.

καὶ ἐθέλειν προθυμότερον κινδυνεύειν.

ρ'. Καὶ τόδε ἕτερον συνέπεσε γενόμενον, Δήμητρος τεμένεα Ἐλευσινίης παρὰ ἀμφοτέρας τὰς συμβολὰς εἶναι. καὶ γὰρ δὴ ἐν τῇ Πλαταιΐδι παρ' αὐτὸ τὸ Δημήτριον, ἐγένετο (ὡς καὶ πρότερόν μοι εἴρηται) ἡ μάχη, καὶ ἐν Μυκάλῃ ἔμελλε ὡσαύτως ἔσεσθαι. γεγονέναι δὲ νίκην τῶν μετὰ Παυσανίεω Ἑλλήνων, ὀρθῶς σφι ἡ Φήμη συνέβαινε ἐλθοῦσα. τὸ μὲν γὰρ ἐν Πλαταιῇσι πρωῒ ἔτι τῆς ἡμέρης ἐγίνετο· τὸ δὲ ἐν Μυκάλῃ, περὶ δείλην. ὅτι δὲ τῆς αὐτῆς ἡμέρης συνέβαινε γίνεσθαι, μηνός τε τοῦ αὐτοῦ, χρόνῳ οὐ πολλῷ σφι ὕστερον δῆλα ἀναμανθάνουσι ἐγίνετο. ἦν δὲ ἀῤῥωδίη σφι πρὶν τὴν Φήμην ἐσαπικέσθαι, οὔτι περὶ σφέων αὐτέων οὕτω, ὡς τῶν Ἑλλήνων, μὴ περὶ Μαρδονίῳ πταίσῃ ἡ Ἑλλάς. ὡς μέντοι ἡ κληδὼν αὕτη σφι ἐσέπτατο, μᾶλλόν τι καὶ ταχύτερον τὴν πρόσοδον ἐποιεῦντο. οἱ μὲν δὴ Ἕλληνες καὶ οἱ βάρ-

eundum ultro periculum alacriores.

100. Alterum etiam quiddam concurrere contigit, ut prope ad utramque pugnam fuerint Cereris Eleusiniae templa. nam et apud ipsum Cereris fanum (ut a me superius demonstratum est) in agro Plataeensi pugna facta est, et similiter in Mycale futura pugna erat, ut non abs re venerit ad istos fama victoriae ab Graecis, qui cum Pausania erant, paratae. nam pugna ad Plataeas diluculo diei gesta est, apud Mycalen vesperi. quarum utramque eodem ejusdem mensis die gestam esse, non diu post ab his rem cognoscentibus declaratum est. Ante rumoris autem adventum subibat istos timor non tam de seipsis quam de Graecis, ne in Mardonio offenderet Graecia: at ubi fama haec ad eos advolavit, impensius atque properantius ad congrediendum processerunt. Attamen Graeci ac barbari in pugnam

festinarunt, tanquam et insulae eis et Hellespontus proposita praemia essent.

101. Athenienses porro, et qui juxta erant instructi, paene dimidium copiarum, iter tenebant per litus atque planitiem; Lacedaemonii autem, et deinceps collocati, per confragosa et montes. Quae dum Lacedaemonii circuibant, interim Athenienses in altero cornu jam proeliabantur. Persae, quoad ipsis sepimenta mansere recta, sese defensavere, et nihilo inferiores in pugna erant: postea vero quam Atheniensium et eorum qui cum Atheniensibus erant copiae adnixae sunt vehementius, se mutuo adhortantes, ut laus operis ipsorum esset, non Lacedaemoniorum, tum commutari jam res, et dejectis sepimentis Graeci confertim impressionem facere in Persas. Illi excepto impetu perdiu restitere, ad postremum in

βαροι ἔσπευδον ἐς τὴν μάχην, ὥς σφι καὶ αἱ νῆσοι καὶ ὁ Ἑλλήσποντος ἄεθλα προέκειτο.

ρα΄. Τοῖσι μέν νυν Ἀθηναίοισι καὶ τοῖσι προσεχέσι τούτοισι τεταγμένοισι, μέχρι κου τῶν[a] ἡμισέων, ἡ ὁδὸς ἐγίνετο κατ' αἰγιαλόν τε καὶ ἄπεδον χῶρον· τοῖσι δὲ Λακεδαιμονίοισι, καὶ τοῖσι ἐπεξῆς τούτοισι τεταγμένοισι, κατά τε χαράδρην καὶ οὔρεα. ἐν ᾧ δὲ οἱ Λακεδαιμόνιοι περιήϊσαν, οὗτοι οἱ ἐπὶ τῷ ἑτέρῳ κέρεϊ[b] ἔτι καὶ δὴ ἐμάχοντο. ἕως μέν νυν τοῖσι Πέρσῃσι ὄρθια ἦν τὰ γέῤῥα, ἠμύνοντό τε, καὶ οὐδὲν ἔλασσον εἶχον τῇ μάχῃ. ἐπεὶ δὲ τῶν Ἀθηναίων καὶ τῶν προσεχέων ὁ στρατὸς, ὅκως ἑωϋτῶν γένοιτο τὸ ἔργον καὶ μὴ Λακεδαιμονίων, παρακελευσάμενοι, ἔργου εἴχοντο προθυμότερον, ἐνθεῦτεν ἤδη ἑτεροιοῦτο τὸ πρῆγμα. διωσάμενοι γὰρ τὰ γέῤῥα οὗτοι φερόμενοι ἐσέπεσον ἀλέες ἐς τοὺς Πέρσας. οἱ δὲ δεξάμενοι, καὶ χρόνον συχνὸν ἀμυνόμενοι,

[a] μέχρι κατὰ τῶν. [b] κέραϊ.

τέλος ἔφευγον ἐς τὸ τεῖχος. Αθηναῖοι δὲ κ̀ Κορίνθιοι κ̀ Σικυώνιοι κ̀ Τροιζήνιοι (ὗτοι γὰρ ἔσαν ἐπεξῆς τεταγμένοι) συνεπισπόμενοι, συνεισέπιπτον[c] ἐς τὸ τεῖχος. ὡς δὲ κ̀ τὸ[d] τεῖχος ἀραίρητο, ὗτέ τι πρὸς ἀλκὴν ἐτράποντο οἱ βάρβαροι, πρὸς φυγήν τε ὁρμέατο οἱ ἄλλοι, πλὴν Περσέων. ὗτοι δὲ κατ᾽ ὀλίγους γινόμενοι, ἐμάχοντο τοῖσι αἰεὶ ἐς τὸ τεῖχος ἐσπίπτουσι Ἑλλήνων· καὶ τῶν στρατηγῶν τῶν Περσικῶν δύο μὲν ἀποφεύγουσι, δύο δὲ τελευτῶσι· Αρταΰντης μὲν κ̀ Ιθαμίτρης[e] τοῦ ναυτικοῦ στρατηγέοντες, ἀποφεύγουσι· Μαρδόντης δὲ, κ̀ ὁ τοῦ πεζοῦ στρατηγὸς Τιγράνης, μαχόμενοι τελευτῶσι.

ρϐ'. Ετι δὲ μαχομένων τῶν Περσέων, ἀπίκοντο Λακεδαιμόνιοι, κ̀ οἱ μετ᾽ αὐτέων, κ̀ τὰ λοιπὰ συνδιεχείριζον. ἔπεσον δὲ κ̀ αὐτέων τῶν Ἑλλήνων συχνοὶ ἐνθαῦτα· ἄλλοί τε κ̀ Σικυώνιοι, κ̀ στρατηγὸς Περίλεος. τῶν τε Σαμίων οἱ στρατευόμε-

[c] συνέπιπτον. [d] ὡς δὲ τό. [e] Ιθραμίτρης.

murum refugere: cum quibus pariter irruperunt Athenienſes et Corinthii et Sicyonii et Troezenii. ita enim erant ii junctim in acie collocati. Ubi vero et murus captus eſt, ibi barbari non roboris memores eſſe, ſed fugae, praeterquam Perſae: hi autem ad paucos redacti pugnabant, Graecis aſſidue in murum irruentibus. Et Perſici duo claſſiarii duces, Artayntes et Ithamitres, effugerunt: totidem pugnantes occubuerunt, Mardontes, et pedeſtrium copiarum dux Tigranes.

102. Adhuc autem dimicantibus Perſis ſupervenere Lacedaemonii ac ſocii, qui eos qui ſupererant trucidaverunt. Ipſorum quoque Graecorum complures illic cecidere, et cum alii ex Sicyoniis, tum eorum dux Perilaus. Quinetiam Sa-

mii qui in exercitu Medorum militabant, quibus adempta arma fuerant, ubi viderunt ſtatim ab initio pugnam pertinaciorem, quoad poterant Graecis ſuppetias iere. Quos inchoaſſe cernentes alii Iones, ita et ipſi a Perſis deficientes adorti ſunt barbaros.

103. Mileſiis autem praeceptum erat ut exitus viarum cuſtodirent, Perſarum ſalutis gratia, ut ſiquis caſus, qualis accidit, eos deprehendiſſet, Mileſiis ducibus ſalutem ſibi ad Mycales cacumina compararent. hujus quidem rei cauſſa Mileſii illic collocati fuerant, neve ſi exercitui adeſſent, aliquid innovarent. At illi e contrario prorſus quam juſſi fuerant fecere: qui et per alias quae ad hoſtem ferebant vias illos in fugam verſos deduxere, et ad extremum in eis mactandis omnium extitere maxime hoſtiles. Hunc in

νοι, ἐόντες ἐν τῷ ϛρατοπέδῳ τῷ Μηδικῷ, κ) ἀπαραιρημένοι τὰ ὅπλα, ὡς εἶδον αὐτίκα κατ' ἀρχὰς γινομένην ἑτεραλκέα τὴν μάχην, ἔρδον ὅσον ἐδυνέατο, προσωφελέειν ἐθέλοντες τοῖσι Ἕλλησι. Σαμίους δὲ ἰδόντες οἱ ἄλλοι Ἴωνες ἄρξαντας, οὕτω δὴ καὶ αὐτοὶ ἀποϛάντες ἀπὸ Περσέων, ἐπέθεντο τοῖσι βαρβάροισι.

ργ'. Μιλησίοισι δὲ προσετέτακτο μὲν τῶν Περσέων τὰς διόδους τηρεῖν, σωτηρίης εἵνεκά σφι· ὡς ἣν ἄρα σφέας καταλαμβάνῃ οἷά περ κατέλαβε, ἔχοντες ἡγεμόνας, σώζωνται ἐς τὰς κορυφὰς τῆς Μυκάλης. ἐτάχθησαν μέν νυν ἐπὶ τοῦτο τὸ πρῆγμα οἱ Μιλήσιοι τούτου γε εἵνεκα, καὶ ἵνα μὴ παρεόντες τῷ ϛρατοπέδῳ τι νεοχμὸν ποιέοιεν. οἱ δὲ πᾶν τοὐναντίον τοῦ προστεταγμένου ἐποίεον. ἄλλας τε κατηγεόμενοί σφι ὁδοὺς φεύγουσι, αἳ δὴ ἔφερον ἐς τοὺς πολεμίους· καὶ τέλος, αὐτοί σφι ἐγίνοντο κτείνοντες πολεμιώτατοι. οὕτω δὴ

τοδεύτερον Ιωνίη ἀπὸ Περσέων ἀπέϛη.

ρδ΄. Εν δὲ ταύτῃ τῇ μάχῃ Ἑλλήνων ἠρίϛευσαν Αθηναῖοι· καὶ Αθηναίων, Ἑρμόλυκος ὁ Εὐθόνȣ[f], ἀνὴρ παγκράτιον ἐπασκήσας· τȣ̃τον δὲ τὸν Ἑρμόλυκον κατέλαβε ὕϛερον τȣτέων, πολέμȣ ἐόντος Αθηναίοισί τε καὶ Καρυϛίοισι, ἐν Κύρνῳ τῆς Καρυϛίης χώρης ἀποθανόντα ἐν μάχῃ, κεῖσθαι ἐπὶ Γεραιϛῷ. μετὰ δὲ Αθηναίȣς, Κορίνθιοι καὶ Τροιζήνιοι καὶ Σικυώνιοι ἠρίϛευσαν.

ρέ. Επεί τε δὲ κατεργάσαντο οἱ Ἕλληνες τȣ̀ς πολλȣ̀ς, τȣ̀ς μὲν μαχομένȣς, τȣ̀ς δὲ καὶ φεύγοντας τῶν βαρβάρων, τὰς νῆας ἐνέπρησαν, καὶ τὸ τεῖχος ἅπαν, τὴν ληΐην προεξαγαγόντες ἐς τὸν αἰγιαλόν· ϗ θησαυρȣ́ς τινας χρημάτων εὗρον. ἐμπρήσαντες δὲ τὸ τεῖχος ϗ τὰς νῆας, ἀπέπλεον. ἀπικόμενοι δὲ ἐς Σάμον οἱ Ἕλληνες, ἐβȣλεύοντο περὶ ἀναϛάσιος τῆς Ιωνίης, ϗ ὅκη χρεὼν[g] εἴη τῆς Ἑλλάδος

f Εὐθοίνȣ. g ὅκου χρεών.

modum Ionia iterum defecit a Persis.

104. In hoc proelio praeclarissimam inter Graecos operam navaverunt Athenienses, et ex Atheniensibus Hermolycus Euthoni filius, vir in pancratio celeber: cui postea contigit, ut bello inter Athenienses et Carystios, in pugna apud Cyrnum agri Carystii occisus in Geraesto sepeliretur. Secundum autem Athenienses egregii extitere Corinthii Troezeniique ac Sicyonii.

105. Graeci vero plerisque barbarorum aliis in pugna, aliis in fuga interfectis, eorum naves incenderunt, totumque murum, ante egesta illinc in litus praeda, et quosdam pecuniarum thesauros repererunt. Ubi murum atque naves cremavere, vela fecerunt. et quum Samum appulsi sunt, consultabant de gente Ionica transferenda, et ubinam in Grae-

cia illam locari oporteret, cujus ipſi imperium obtinerent; Ioniam autem barbaris relinquerent. Neque enim videbatur eis fieri poſſe, ut per omne tempus Ionibus tutandis praeeſſent; ſin autem non tutarentur, ſperare non poterant, ut Iones a Perſis defeciſſe gauderent. Ad haec magiſtratus Peloponnenſium cenſebant emporia nationum Graecarum quae cum Medis ſenſiſſent, ejectis incolis danda cum agro Ionibus habitanda. Athenienſes nullo pacto ſedibus ſummovendos eſſe Iones cenſebant, nec Peloponnenſibus de ipſorum coloniis conſultandum; et quum in hoc contenderent Athenienſes, libenter eis ceſſere Peloponnenſes: atque ita Samios et Chios et Lesbios ac ceteros inſulanos, qui ſecum militabant, ad ſocietatis foedus adſciverunt, data acceptaque fide cum jurejurando, ſe permanſuros in ſocietate, nec ab ea defecturos. Hoc jure-

κατοικίσαι[a], τῆς αὐτοὶ ἐγκρατέες ἔσαν· τὴν δὲ Ἰωνίην ἀφεῖναι τοῖσι βαρβάροισι. ἀδύνατον γὰρ ἐφαίνετό σφι εἶναι ἑωϋτοὺς τε Ἰώνων προκατῆσθαι, φρουρέοντας τὸν πάντα χρόνον· καὶ ἑωϋτῶν μὴ προκατημένων, Ἴωνας οὐδεμίην ἐλπίδα ἔχον χαίροντας πρὸς τῶν Περσέων ἀπαλλάξειν. πρὸς ταῦτα Πελοποννησίων μὲν τοῖσι ἐν τέλεσι ἐδόκεε[b] τῶν μηδισάντων ἐθνέων τῶν Ἑλληνικῶν τὰ ἐμπόρια ἐξαναστήσαντας, δοῦναι τὴν χώρην Ἴωσι ἐνοικῆσαι· Ἀθηναίοισι δὲ οὐκ ἐδόκεε ἀρχὴν, Ἰωνίην γενέσθαι ἀνάστατον, οὐδὲ Πελοποννησίοισι περὶ τῶν σφετέρων ἀποικιέων βουλεύειν. ἀντιτεινόντων δὲ τουτέων, προθύμως εἶξαν οἱ Πελοποννήσιοι· καὶ οὕτω δὴ Σαμίους τε καὶ Χίους καὶ Λεσβίους, καὶ τοὺς ἄλλους νησιώτας, οἳ ἔτυχον συστρατευόμενοι τοῖσι Ἕλλησι, ἐς τὸ συμμαχικὸν ἐποιήσαντο, πίστι καταλαβόντες[c] καὶ ὁρκίοισι, ἐμμένειν τε καὶ μὴ ἀπο-

[a] κατοικῆσαι. [b] τέλεσι ἐοῦσι ἐδόκεε. [c] πίστι τε καταλαβόντες.

ςήσεσθαι. τούτους δὲ καταλαβόντες ὁρκίοισι, ἔπλεον τὰς γεφύρας λύσοντες. ἔτι γὰρ ἐδόκεον ἐντεταμένας εὑρήσειν. οὗτοι μὲν δὴ ἐπ᾽ Ἑλλησπόντου ἔπλεον.

ϞϚ΄. Τῶν δὲ ἀποφυγόντων βαρβάρων, ἐς τὰ ἄκρα τῆς Μυκάλης κατειληθέντων, ἐόντων οὐ πολλῶν, ἐγίνετο κομιδὴ ἐς Σάρδις· πορευομένων δὲ κατ᾽ ὁδὸν, Μασίςης ὁ Δαρείου παρατυχὼν τῷ πάθεϊ τῷ γεγονότι, τὸν ςρατηγὸν Αρταΰντην ἔλεγε πολλά τε καὶ κακὰ, ἄλλα τε καὶ γυναικὸς κακίω φὰς αὐτὸν εἶναι, τοιαῦτα ςρατηγήσαντα· καὶ ἄξιον εἶναι παντὸς κακοῦ, τὸν βασιλῆος οἶκον κακώσαντα. παρὰ δὲ τοῖσι Πέρσῃσι, γυναικὸς κακίω ἀκοῦσαι, δέννος μέγιςός ἐςι. ὁ δὲ, ἐπεὶ πολλὰ ἤκουσε, δεινὰ ποιεύμενος [d], σπᾶται ἐπὶ τὸν Μασίςην τὸν ἀκινάκεα, ἀποκτεῖναι θέλων. καί μιν ἐπιθέοντα φθὰς Ξειναγόρης ὁ Πρηξίλεω, ἀνὴρ Ἁλικαρνησσεὺς, ὄπισθε ἑςεὼς αὐτοῦ Αρ-

[d] ποιησάμενος.

jurando perfecto, ad pontes solvendos navigaverunt, rati adhuc illos intentos se esse inventuros. Et quidem in Hellespontum navigabant.

106. Ii vero barbari qui effugerant, quum ad cacumina Mycales venissent, non ita multi se Sardes recipiebant. Qui dum iter faciunt, Masistes Darii filius, qui pugnae male gestae adfuerat, conviciari praefecto Artayntae cum aliis multis probris; tum vero dicere, illum muliere esse ignaviorem, qui ita ducis munere fuisset functus, dignumque omni malo esse qui de regia domo male meritus esset. Apud Persas autem summo opprobrio datur, audire se muliere esse ignaviorem. Artayntes igitur, ubi multa audiit, indigne ferens, acinacem in Masistem stringit, interficiendi avidus. quem irruentem praeveniens Xenagoras Praxilai filius, vir Halicarnassensis, ut stabat a tergo Artayntae,

hominem medium rapit, ſublatumque humi allidit. intereaque ſatellites Maſiſtis adfuere. Eo facto Xenagoras et ipſius Maſiſtis gratiam meruit, et Xerxis, cujus fratrem ſervaſſet, ita ut ab eo ob hanc rem totius Ciliciae praefectura donatus ſit. Nihil hoc amplius inter viam barbari egerunt, Sardeſque pervenerunt, ubi rex erat ex eo tempore, quo Athenis proelio navali male geſto, illuc profugerat.

107. Sardibus autem tunc agens, adamabat uxorem Maſiſtis, quae et ipſa illic erat. ea quum potiri non poſſet, neque donis miſſitandis, neque vim afferre vellet, fratris Maſiſtis reſpectu: quae res et mulierem retinebat, probe gnaram non ſe coactum iri vi. ibi Xerxes ceteris pro-

ταύντεω, ἁρπάζει μέσον· καὶ ἐξάρας, παίει ἐς τὴν γῆν. καὶ ἐν τούτῳ οἱ δορυφόροι Μασίστεω προέστησαν. ὁ δὲ Ξειναγόρης ταῦτα ἐργάσατο, χάριτα αὐτῷ τε Μασίστῃ τιθέμενος καὶ Ξέρξῃ, ἐκσώζων τὸν ἀδελφεὸν τὸν ἐκείνου· καὶ διὰ τοῦτο τὸ ἔργον Ξειναγόρης πάσης ἦρξε Κιλικίης, δόντος βασιλῆος. τῶν δὲ κατ' ὁδὸν πορευομένων βαρβάρων [e], οὐδὲν ἔτι πλέον ἐγένετο τουτέων [f], ἀλλ' ἀπικνέονται ἐς Σάρδις. ἐν δὲ τῇσι Σάρδισι ἐτύγχανε ἐὼν βασιλεὺς ἐξ ἐκείνου τοῦ χρόνου, ἐπεί τε ἐξ Ἀθηναίων προσπταίσας τῇ ναυμαχίῃ, φυγὼν ἀπίκετο.

ρζ΄. Τότε δὴ ἐν τῇσι Σάρδισι ἐὼν ἄρα, ἤρα τῆς Μασίστεω γυναικὸς, ἐούσης καὶ ταύτης ἐνθαῦτα· ὡς δέ οἱ προσπέμποντι οὐκ ἐδύνατο κατεργασθῆναι, οὐδὲ βίην προσεφέρετο, προμηθεόμενος τὸν ἀδελφεὸν Μασίστην· (τὠυτὸ δὲ τοῦτο ἔχε καὶ τὴν γυναῖκα· εὖ τε γὰρ ἐπίστατο βίης οὐ τευ-

e Haec vox βαρβάρων non est in MS. f Etiam haec vox τουτέων abest ab MS.

ζομένη) ἐνθαῦτα δὴ Ξέρξης ἐργόμενος τῶν ἄλλων, πρήσσει τὸν γάμον τῦτον τῷ παιδὶ τῷ ἑωϋτῦ Δαρείῳ θυγατέρα τῆς γυναικὸς ταύτης καὶ Μασίστεω· δοκέων αὐτὴν μᾶλλον λάμψεσθαι ἢν ταῦτα ποιήσῃ. ἁρμόσας δὲ, καὶ τὰ νομιζόμενα ποιήσας, ἀπήλαυνε ἐς Σῦσα· ἐπεὶ δὲ ἐκεῖσε ἀπίκετο, καὶ ἠγάγετο ἐς ἑωϋτῦ Δαρείῳ τὴν γυναῖκα, ὕτω δὴ τῆς Μασίστεω μὲν γυναικὸς ἐπέπαυτο· ὁ δὲ, διαμειψάμενος, ἤρα τε καὶ ἐτύγχανε τῆς Δαρείῦ μὲν γυναικὸς, Μασίστεω δὲ θυγατρός· ὔνομα δὲ τῇ γυναικὶ ταύτῃ ἦν Αρταΰντη.

ρή. Χρόνου δὲ προϊόντος, ἀνάπυστα γίνεται τρόπῳ τοιῷδε· ἐξυφήνασα Αμηστρις ἡ Ξέρξεω γυνὴ φᾶρος μέγα τε καὶ ποικίλον καὶ θέης ἄξιον, διδοῖ Ξέρξῃ. ὁ δὲ, ἡσθεὶς, περιβάλλεταί τε καὶ ἔρχεται παρὰ τὴν Αρταΰντην. ἡσθεὶς δὲ καὶ ταύτῃ, ἐκέλευσε αὐτὴν αἰτῆσαι

hibitus, huc evasit, ut filio suo Dario in matrimonium daret filiam hujus mulieris ac Masistis; existimans, si hoc fecisset, commodius se illa potiturum. Contracto matrimonio, aliisque ex consuetudine celebratis, Susa profectus est. eo postquam pervenit, et uxorem Dario domum duxit, ita demum ab uxoris Masistis amore cessavit; sed mutato amore ambiit et potitus fuit Darii quidem sui uxore, sed Masistae filia, cui nomen erat Artayntae.

108. Qua quum potiretur, processu temporis res patefacta est, hunc in modum: Amestris uxor Xerxis, amiculum quod ipsa texuerat, grande atque variegatum, et spectatu dignum, viro donavit. Quo ille delectatus atque amictus, ad Artayntam se confert: atque ubi se oblectavit cum ea, jussit a se petere mulierem quae optaret sibi fieri pro bene de

ipſo meritis. omnia enim quae peteret, impetraturam. Ad hoc illa reſpondens, (debebatur enim toti familiae infortunium) 'Dabiſne, inquit, mihi quicquid a 'te petiero?' Xerxes, omnia alia potius eam petituram ratus, cum jurejurando promiſit. Qui poſtquam juravit, mulier intrepide amiculum popoſcit. Xerxes enimvero recuſare, non ob aliud quam quod vereretur Ameſtrin, ne ſic illa rem quae agebatur, jampridem ſuſpicata, deprehenderet: ſed offerre ei et urbes, et immenſam vim auri, et copias militum, quibus nemo praeter illam eſſet imperaturus. Eximium autem donum eſt apud Perſas, exercitu donari. Verum quum non poſſet perſuadere mulieri, amiculum dedit. Quo dono illa ſupra modum laeta, eo geſtando geſtiebat.

109. Ameſtris ubi mulierem habere amiculum ſcivit, et rem geſtam, non in puellam concepit odium, ſed in illius ma-

ὅ,τι βούλεταί οἱ γενέσθαι ἀντὶ τῶν αὐτῷ ὑπουργημένων. πάντα γὰρ τεύξεσθαι αἰτήσασαν. τῇ δὲ κακῶς γὰρ ἔδεε πανοικίῃ γενέσθαι, πρὸς ταῦτα εἶπε [g] Ξέρξῃ, ‘ Δώσεις μοι τὸ ἄν σε αἰτήσω;’ ὁ δὲ, πᾶν μᾶλλον δοκέων ἐκείνην αἰτῆσαι, ὑπισχνέετο καὶ ὤμοσε. ἡ δὲ, ὡς ὤμοσε, ἀδεῶς αἰτέει τὸ φᾶρος. Ξέρξης δὲ, παντοῖος ἐγένετο, οὐ βουλόμενος δοῦναι· κατ' ἄλλο μὲν οὐδὲν, φοβεόμενος δὲ Ἄμηστριν, μὴ καὶ πρὶν κατεικαζούσῃ τὰ γινόμενα, οὕτω ἐπευρεθῇ πρήσσων. ἀλλὰ πόλις τε ἐδίδου καὶ χρυσὸν ἄπλετον, καὶ στρατὸν τοῦ ἔμελλε οὐδεὶς ἄρξειν ἀλλ' ἢ ἐκείνη· (Περσικὸν δὲ κάρτα ὁ στρατὸς δῶρον) ἀλλ' οὐ γὰρ ἔπειθε. διδοῖ τὸ φᾶρος. ἡ δὲ, περιχαρὴς ἐοῦσα τῷ δώρῳ, ἐφόρεέ τε καὶ ἠγάλλετο.

ρθ'. Καὶ ἡ Ἄμηστρις πυνθάνεταί μιν ἔχουσαν. μαθοῦσα δὲ τὸ ποιεύμενον, τῇ μὲν γυναικὶ ταύτῃ οὐκ εἶχε ἔγκοτον· ἡ δὲ, ἐλ-

g ἦται.

πίζουσα τὴν μητέρα αὐτῆς εἶναι αἰτίην, καὶ ταῦτα ἐκείνην πρήσσειν, τῇ Μασίστεω γυναικὶ ἐβούλευε ὄλεθρον. φυλάξασα δὲ τὸν ἄνδρα τὸν ἑωϋτῆς Ξέρξην βασιλήϊον δεῖπνον προτιθέμενον· τοῦτο δὲ τὸ δεῖπνον παρασκευάζεται ἅπαξ τοῦ ἐνιαυτοῦ, ἡμέρῃ τῇ ἐγένετο βασιλεύς. οὔνομα δὲ τῷ δείπνῳ τούτῳ, Περσιστὶ μὲν, τυκτά· κατὰ δὲ τὴν Ἑλλήνων γλῶσσαν, τέλειον. τότε καὶ τὴν κεφαλὴν σμᾶται μοῦνον βασιλεὺς, καὶ Πέρσας[a] δωρέεται. ταύτην δὴ τὴν ἡμέρην φυλάξασα ἡ Ἀμηστρις, χρήζει τοῦ Ξέρξεω, δοθῆναί οἱ τὴν Μασίστεω γυναῖκα. ὁ δὲ δεινόν τε καὶ ἀνάρσιον ἐποιέετο, τοῦτο μὲν, ἀδελφεοῦ γυναῖκα παραδοῦναι, τοῦτο δὲ, ἀναιτίην ἐοῦσαν τοῦ πρήγματος τούτου. συνῆκε γὰρ τοῦ εἵνεκεν ἐδέετο.

ρι΄. Τέλος μέντοι, ἐκείνης τε λιπαρεούσης, καὶ ὑπὸ τοῦ νόμου ἐξεργόμενος, (ὅτι ἀτυχῆσαι τὸν χρήζοντα, οὔ σφι δυνατόν ἐστι βασιληΐου δείπνου προκειμένου) κάρτα

[a] Πέρσαις.

trem, penes quam culpam et quam hujus rei autorem esse credebat, exitium machinatur. Observato itaque tempore quo vir suus Xerxes regalem instrueret coenam, quae coena semel quotannis eo die quo rex creatus est instruebatur: (coenae nomen Persice Tycta, Graece τέλειον, id est, perfecta: in qua rex solum caput ornatur, Persasque strenis donat) hoc die observato Amestris a Xerxe petiit, ut se Masistae uxore donaret. Xerxes id indignum factu nefariumque arbitrari, uxorem germani dono dari, eamque insontem negotii illius cujus caussa uxor sua eam flagitaret.

110. Tandem hujus precibus evictus, et instituto, quo nefas est regia coena proposita orantem non exorare, invitus admodum annuit: tradensque uxori, ac

jubens facere quod liberet, germano ad ſe arceſſito, ita inquit, ' Maſiſta, tu Darii ' filius es, idemque mihi frater, praeterea ' vir eximius: tamen iſtam mulierem, cum ' qua nunc domum communicas, noli ' habere: in cujus locum do tibi filiam ' meam, cum qua domum communices. ' Iſtam autem quam in matrimonio ha- ' bes (non enim mihi videtur habenda) ' miſſam facias.' His verbis ſtupefactus Maſiſtes, ' Domine, inquit, quam tu me- ' cum orationem habes importunam: qui ' uxorem, ex qua liberi mihi ſunt ado- ' leſcentes tres, et filiae, (quarum unam ' tu filio tuo duxiſti uxorem) jubes me ' relinquere, quae mihi eſt ex animi mei ' ſententia, ut filiam tuam in matrimonio ' ducam? Equidem, rex, etſi magni facio ' me dignari conjugio filiae tuae, tamen

δὴ ἀέκων καλανεύει. καὶ παραδȣ̀ς, ποιέει τάδε· τὴν μὲν κελεύει ποιέειν τὰ βȣ́λεlαι· ὁ δὲ, μεταπεμψάμενος τὸν ἀδελφεὸν, λέγει τάδε, ‘ Μασίςα σὺ εἶς Δαρείȣ τε ‘ παῖς, ϗ ἐμὸς ἀδελφεός· πρὸς δ᾽ ἔτι τȣ́‘ τοισι, καὶ εἶς ἀνὴρ ἀγαθός· γυναικὶ δὲ ‘ ταύτῃ τῇ νῦν συνοικέεις, μὴ συνοίκεε· ‘ ἀλλά τοι ἀντ᾽ αὐτῆς ἐγὼ δίδωμι θυγα‘ τέρα τὴν ἐμήν. ταύτῃ συνοίκεε. τὴν δὲ νῦν ἔχεις (ȣ̓ γὰρ δοκέει ἐμοὶ) μὴ ἔχε γυναῖκα. ὁ δὲ Μασίςης ἀποθωϋμάσας τὰ λεγόμενα, λέγει τάδε, ‘ Ὦ δέσπολα, τίνα ‘ μοι λόγον λέγεις ἄχρηςον, κελεύων μοι ‘ γυναῖκα, ἐκ τῆς μοι παῖδες νεηνίαι τε ‘ εἰσὶ τρεῖς, ϗ θυγατέρες, τῶν ϗ σὺ μίην ‘ τῷ παιδὶ τῷ σεωϋτȣ῀ ἠγάγεο γυναῖκα· ‘ αὕτη τέ μοι καlὰ νόον τυγχάνει κάρτα ‘ ἐȣ̃σα· ταύτην με κελεύεις μεθένlα, θυ‘ γατέρα τὴν σεωϋτοῦ γῆμαι; ἐγὼ δὲ, ‘ βασιλεῦ, μεγάλα μὲν ποιεῦμαι, ἀξιεύ‘ μενος θυγατρὸς τῆς σῆς, ποιήσω μέν τοι

‘ τουτέων οὐδέτερα. σὺ δὲ μηδαμῶς βίω ‘ πρήγματος τοιοῦδε δεόμενος· ἀλλὰ τῇ τε ‘ σῇ θυγατρὶ ἀνὴρ ἄλλος φανήσεται ἐμεῦ ‘ οὐδὲν ἥσσων, ἐμέ τε ἔα γυναικὶ τῇ ἐμῇ ‘ συνοικέειν.’ ὁ μὲν δὴ τοιούτοισι ἀμείβεται. Ξέρξης δὲ θυμωθεὶς λέγει τάδε, ‘ Οὕτω ‘ δή τοι Μασίστα πέπρηκται. οὔτε γὰρ ἄν ‘ τοι δοίην θυγατέρα τὴν ἐμὴν γῆμαι, οὔτε ‘ ἐκείνῃ ἔτι[b] πλεῦνα χρόνον συνοικήσεις·’ ὡς μάθῃς τὰ διδόμενα δέκεσθαι. ὁ δὲ, ὡς ταῦτα ἤκουσε, εἴπας τοσόνδε, ἐχώρεε ἔξω, ‘ Δέσποτα, οὐ δή κου με ἀπώλεσας.’

ρια΄. Ἐν δὲ τούτῳ τῷ διὰ μέσου χρόνῳ ἐν τῷ Ξέρξης τῷ ἀδελφεῷ διελέγετο, ἡ Ἄμηστρις μεταπεμψαμένη τοὺς δορυφόρους τοῦ Ξέρξεω, διαλυμαίνεται τὴν γυναῖκα τὴν Μασίστεω· τούς τε μαζοὺς ἀποταμοῦσα, κυσὶ προέβαλε· καὶ ῥῖνα, καὶ ὦτα, καὶ χείλεα, καὶ γλῶσσαν ἐκταμοῦσα, ἐς οἶκόν μιν ἀποπέμπει διαλελυμασμένην.

ριβ΄. Ὁ δὲ Μασίστης, οὐδέν κω ἀκηκοὼς

[b] Vocula ἔτι non est in MS.

'neutrum iſtorum faciam. tu vero, qui 'nequaquam neceſſe habes, noli ad hoc 'rei me cogere. alius non inferior me 'exiſtet maritus filiae tuae: ſine me meae 'uxoris conſuetudine frui.' Haec ille quum reſpondiſſet, percitus ira Xerxes, 'Atqui, inquit, ita tecum, Maſiſta, age- 'tur, ut neque jam tibi filiam meam 'nuptum dem, neque tu conſuetudine 'tuae diutius fruaris: ut diſcas accipere 'oblata.' Maſiſtes his auditis, exiit, hac- tenus loquutus, 'Domine, nondum me 'interemiſti.'

111. Hoc interim tempore dum Xerxes cum fratre colloquitur, Ameſtris accitis ſatellitibus Xerxis, uxorem Maſiſ- tae excarnificat, mammas praecidit, eaſ- que canibus objicit: praecidit nares, au- res, labra, linguam: atque ita excarnifi- catam remittit domum.

112. Harum rerum quum nihil au-

diſſet Maſiſtes, metuens tamen aliquid ſibi eſſe mali, curſu ſe domum proripiebat. ubi vero mutilatam uxorem vidit, confeſtim inito cum liberis conſilio, abiit Bactra cum illis et aliis quibuſdam, tanquam praefecturam Bactriam ad defectionem inducturus, et plurimum mali regi facturus. Quod et contigiſſet (ut mihi videtur) ſi occupaſſet ad Bactrios et ad Sacas aſcendere. etenim praeſes erat Bactriorum, a provincialibuſque diligebatur. Sed enim haec eum perpetraturum Xerxes audiens, miſſis adverſus hominem copiis, et ipſum et liberos et copias in itinere trucidavit. De amore Xerxis et nece Maſiſtae haec hactenus.

113. Graeci a Mycale profecti Helleſpontum verſus, primum circa Lecton ſtationem habuerunt, a ventis intercepti.

τουτέων, ἐλπόμενος δέ τί οἱ κακὸν εἶναι, ἐσπίπτει δρόμῳ ἐς τὰ οἰκία· ἰδὼν δὲ διεφθαρμένην τὴν γυναῖκα, αὐτίκα μετὰ ταῦτα συμβουλευσάμενος τοῖσι παισὶ, ἐπορεύετο ἐς Βάκτρα σύν τε τοῖσι ἑωϋτοῦ υἱοῖσι, καὶ δή κου τισὶ καὶ ἄλλοισι, ὡς ἀποστήσων νομὸν τὸν Βάκτριον, καὶ ποιήσων τὰ μέγιστα κακῶν βασιλῆα. τά περ ἂν καὶ ἐγένετο, ὡς ἐμοὶ δοκέει, εἴ περ ἔφθη ἀναβὰς ἐς τοὺς Βακτρίους, καὶ τοὺς Σάκας· καὶ γάρ ἔστεργόν τέ μιν, καὶ ἦν ὕπαρχος τῶν Βακτρίων. ἀλλὰ γὰρ Ξέρξης πυθόμενος ταῦτα ἐκεῖνον πρήσσοντα, πέμψας ἐπ' αὐτὸν στρατιὴν, ἐν τῇ ὁδῷ κατέκτεινεν αὐτόν τε ἐκεῖνον καὶ τοὺς παῖδας αὐτοῦ, καὶ τὴν στρατιὴν τὴν ἐκείνου. κατὰ μὲν τὸν ἔρωτα τὸν Ξέρξεω, καὶ τὸν Μασίστεω θάνατον, τοσαῦτα ἐγένετο.

ριγ΄. Οἱ δὲ ἐκ Μυκάλης ὁρμηθέντες Ἕλληνες ἐπ' Ἑλλησπόντου, πρῶτον μὲν περὶ Λεκτὸν ὅρμεον, ὑπὸ ἀνέμων ἀπο-

λαμφθέντες· ἐνθεῦτεν δὲ ἀπίκοντο ἐς Ἄβυδον, καὶ τὰς γεφύρας εὗρον διαλελυμένας, τὰς ἐδόκεον εὑρήσειν ἔτι ἐντεταμένας· καὶ τουτέων οὐκ ἥκιστα εἵνεκα ἐς τὸν Ἑλλήσποντον ἀπίκοντο. τοῖσι μέν νυν ἀμφὶ Λευτυχίδεα Πελοποννησίοισι ἔδοξε ἀποπλέειν ἐς τὴν Ἑλλάδα· Ἀθηναίοισι δὲ, καὶ Ξανθίππῳ τῷ στρατηγῷ, αὐτοῦ ὑπομείναντας, πειρᾶσθαι τῆς Χερσονήσου. οἱ μὲν δὴ ἀπέπλεον. Ἀθηναῖοι δὲ, ἐκ τῆς Ἀβύδου διαβάντες ἐς τὴν Χερσόνησον, Σηστὸν ἐπολιόρκεον.

ριδ´. Ες δὲ τὴν Σηστὸν ταύτην, ὡς ἐόντος ἰσχυροτάτου τείχεος τῶν ταύτῃ, συνῆλθον, ὡς ἤκουσαν παρεῖναι τοὺς Ἕλληνας ἐς τὸν Ἑλλήσποντον, ἔκ τε τῶν ἄλλων τῶν περιοικίδων, καὶ δὴ καὶ ἐκ Καρδίης πόλιος, Οἰόβαζος, ἀνὴρ Πέρσης, ὃς τὰ ἐκ τῶν γεφυρέων ὅπλα ἐνθαῦτα ἦν κεκομικώς. ἔχον δὲ ταύτην ἐπιχώριοι Αἰολέες, συνῆσαν δὲ Πέρσαι τε καὶ τῶν

inde Abydum tenuerunt: et quum pontes, quorum praecipue caussa illuc ierant, credentes se adhuc eos intentos esse inventuros, reperissent solutos, deliberabant. Leutychidi et qui cum eo erant Lacedaemoniis, videbatur in Graeciam redeundum: Atheniensibus autem et eorum duci Xanthippo, illic manendum, ut Chersonesum tentarent. Itaque illi quidem abiere: Athenienses autem Abydo in Chersonesum trajicientes, Sestum obsidebant.

114. Huc, postquam auditum est Graecos in Hellesponto adesse, tanquam ad omnium ejus tractus munimentum validissimum, convenere cum alii ex aliis circa locis, quae incolebantur, tum ex Cardia urbe Oeobazus, vir Persa, qui arma e pontibus illuc comportaverat. Tenebant autem id oppidum indigenae Aeolenses, junctis Persis pariter et mag-

na sociorum frequentia.

115. Tyrannidem illius praefecturae obtinebat Xerxis praetor Artayctes, vir ille quidem Persa, sed dirus tamen et facinorosus, qui et Xerxem Athenas tendentem circumvenit, subreptis Protesilai Iphiclo geniti ex Elaeunte pecuniis. Etenim est in Elaeunte Chersonesi sepulcrum Protesilai, et ei fanum circumjectum, ubi inerat ingens vis pecuniae, nec non phialae aureae argenteaeque, et aes, et vestis, aliaque donaria, quae Artayctes rege donante compilavit, his verbis eum circumveniens, ' Here, est hoc in loco ' domus viri Graeci, qui cum militum ' copiis terram tuam adortus, meritas ' morte poenas dedit: ejus mihi domum ' dato, ut discant alii non militare adversus regionem tuam.' Haec dicendo facile erat persuasurus Xerxi ut largiretur sibi domum ejus viri, de quo nihil suspi-

ἄλλων συμμάχων συχνὸς ὅμιλος.

ριέ. Ἐτυράννευε δὲ τούτου τοῦ νομοῦ Ξέρξεω ὕπαρχος Ἀρταΰκτης, ἀνὴρ μὲν Πέρσης, δεινὸς δὲ καὶ ἀτάσθαλος· ὃς καὶ βασιλῆα ἐλαύνοντα ἐπ' Ἀθήνας ἐξηπάτησε, τὰ Πρωτεσίλεω τοῦ Ἰφίκλου χρήματα ἐξ Ἐλαιοῦντος[c] ὑφελόμενος. ἐν γὰρ Ἐλαιοῦντι τῆς Χερσονήσου ἐστὶ Πρωτεσίλεω τάφος τε, καὶ τέμενος περὶ αὐτὸν, ἔνθα ἦν χρήματα πολλὰ, καὶ φιάλαι χρύσεαι καὶ ἀργύρεαι, καὶ χαλκὸς, καὶ ἐσθὴς, καὶ ἄλλα ἀναθήματα, τὰ Ἀρταΰκτης ἐσύλησε, βασιλῆος δόντος. λέγων δὲ τοιάδε, Ξέρξεα διεβάλετο, ‘ Δέσποτα, ἔστι ‘ οἶκος ἀνδρὸς Ἕλληνος ἐνθαῦτα, ὃς ἐπὶ ‘ γῆν σὴν στρατευσάμενος[d], δίκης κυρή‑ ‘ σας, ἀπέθανε· τούτου μοι δὸς τὸν οἶκον, ‘ ἵνα καί τις μάθῃ ἐπὶ γῆν τὴν σὴν μὴ ‘ στρατεύεσθαι.’ ταῦτα λέγων, εὐπετέως ἔμελλε ἀναπείσειν Ξέρξεα δοῦναι ἀνδρὸς οἶκον, οὐδὲν ὑποτοπηθέντα τῶν ἐκεῖνος

[c] Ἐλεοῦντος et Ἐλεοῦντι et Ἐλεοῦντα. [d] στρατευόμενος.

ἐφρόνεε. ἐπὶ γῆν δὲ τὴν βασιλῆος στρατεύεσθαι Πρωτεσίλεων ἔλεγε, νοέων τοιάδε· τὴν Ἀσίην πᾶσαν νομίζουσι ἑωϋτῶν Πέρσαι εἶναι, καὶ τοῦ αἰεὶ βασιλεύοντος. ἐπεὶ δὲ ἐδόθη τὰ χρήματα, ἐξ Ἐλαιοῦντος ἐς Σηστὸν ἐξεφόρησε, καὶ τέμενος ἔσπειρε, καὶ ἐνέμετο· αὐτός τε ὅκως ἀπίκοιτο ἐς Ἐλαιοῦντα, ἐν τῷ ἀδύτῳ γυναιξὶ ἐμίσγετο. τότε δὲ ἐπολιορκέετο ὑπὸ Ἀθηναίων, οὔτε παρεσκευασμένος ἐς πολιορκίην, οὔτε προσδεχόμενος τοὺς Ἕλληνας· ἀφύκτως δέ κως αὐτῷ ἐπέπεσον.

ρις΄. Ἐπεὶ δὲ πολιορκεομένοισί σφι φθινόπωρον ἐπεγένετο, καὶ ἤσχαλον οἱ Ἀθηναῖοι ἀπό τε τῆς ἑωϋτῶν ἀποδημέοντες, καὶ οὐ δυνάμενοι ἐξελεῖν τὸ τεῖχος, ἐδέοντό τε τῶν στρατηγῶν ὅκως ἀπαγάγοιεν[e] σφέας ὀπίσω. οἱ δὲ οὐκ ἔφασαν, πρὶν ἢ ἐξέλωσι, ἢ τὸ Ἀθηναίων κοινὸν σφέας μεταπέμψηται. οὕτω δὴ ἔστεργον τὰ παρεόντα.

[e] MS. ἀπάγοιεν

cabatur eorum quae iſte ſtatueret. Enimvero dicebat Artayctes Proteſilaum in terram regis militaſſe, quod videlicet Perſae omnem Aſiam ſuam eſſe arbitrabantur, et ejus ſemper qui potitur regno. Hic, poſtquam pecuniis ab rege donatus eſt, eas ab Elaeunte Seſton exportavit, fanumque ſevit et coluit: et quoties Elaeuntem pergebat, in penetrali cum mulieribus concumbebat. Tunc autem ab Athenienſibus obſidebatur, neque paratus ad obſidionem, neque exſpectans Graecos qui ex improviſo illum invaſerunt.

116. Illi, poſteaquam obſidione advenerat autumnus, tum et gravari peregrinam a patria expeditionem, et quoniam caſtellum expugnare non poterant, orare duces ſuos ut ſe illinc reducerent. Duces negare ſe prius id facturos quam aut caſtellum expugnaſſent, aut ipſos reſpublica Athenienſium arceſſiviſſet: ita illi praeſentem rerum ſtatum boni conſulebant.

117. At ii qui cum Artayĉte intra muros erant, in omnem adducti calamitatem, adeo ut funibus lectorum elixis vescerentur; ubi jam ne hos quidem habebant, ita sub noctem capesserunt fugam cum alii Persae, tum Artayctes et Oeobazus, delapsi ab tergo castelli, quod praecipue destitutum ab hostibus erat. Postquam illuxit, Chersonesitae e turribus rem indicavere Atheniensibus, portasque patefecere, quorum plerisque fugientes Persas persequentibus, alii urbem tenuere.

118. Oeobazum in Thraciam fuga elapsum, Thraces Apsinthii exceptum, Pleistoro indigenae deo, ritu suo immolaverunt; ceterum ejus comites aliter interfecerunt. Artayctes autem cum suis inita posterius fuga, quum pauci deprehenderentur supra Caprae fluenta, quum

ριζ'. Οἱ δ' ἐν τῷ τείχεϊ ἀμφὶ τὸν Αρταΰκτεα[f] ἐς πᾶν ἤδη κακοῦ ἀπιγμένοι ἔσαν οὕτω, ὥστε τοὺς τόνους ἕψοντες τῶν κλινέων, ἐσιτέοντο. ἐπεί τε δὲ οὐδὲ ταῦτα ἔτι ἔχον, οὕτω δὴ ὑπὸ νύκτα οἴχονται ἀποδράντες οἵ τε Πέρσαι, καὶ ὁ Αρταΰκτης καὶ ὁ Οἰόβαζος, ὄπισθε τοῦ τείχεος καταβάντες, τῇ ἦν ἐρημότατον πολεμίων. ὡς δὲ ἡμέρη ἐγένετο, οἱ Χερσονησῖται ἀπὸ τῶν πύργων ἐσήμηναν τοῖσι Αθηναίοισι τὸ γεγονὸς, καὶ τὰς πύλας ἄνοιξαν. τῶν δὲ οἱ μὲν πλεῦνες ἐδίωκον, οἱ δὲ τὴν πόλιν ἔχον.

ριη'. Οἰόβαζον μέν νυν ἐκφεύγοντα ἐς τὴν Θρηΐκην, Θρήϊκες Αψίνθιοι λαβόντες, ἔθυσαν Πλειστώρῳ ἐπιχωρίῳ θεῷ, τρόπῳ τῷ σφετέρῳ· τοὺς δὲ μετ' ἐκείνου, ἄλλῳ τρόπῳ ἐφόνευσαν. οἱ δὲ ἀμφὶ τὸν Αρταΰκτην, ὕστεροι ὁρμηθέντες φεύγειν, ὡς κατελαμβάνοντο ὀλίγοι ἐόντες ὑπὲρ Αἰγὸς ποταμῶν[g], ἀλεξόμενοι χρόνον ἐπὶ

f Hae tres voces ἀμφὶ τὸν Αρταΰκτεα non sunt in MS.
g ποταμοῦ.

συχνὸν, οἱ μὲν ἀπέθανον, οἱ δὲ, ζῶντες ἐλάμφθησαν. καὶ συνδήσαντές σφεας οἱ Ἕλληνες, ἦγον ἐς Σηστόν· μετ' αὐτέων δὲ καὶ Ἀρταΰκτην δεδεμένον, αὐτόν τε καὶ τὸν παῖδα αὐτοῦ.

ριθ'. Καί τεῳ τῶν Φυλασσόντων λέγεται ὑπὸ Χερσονησιωτέων ταρίχους ὀπτῶντι, τέρας γενέσθαι τοιόνδε· οἱ τάριχοι ἐπὶ τῷ πυρὶ κείμενοι ἐπάλλοντό τε καὶ ἔσπαιρον, ὅκως περ ἰχθύες νεάλωτοι[a]. καὶ οἱ μὲν, περιχυθέντες, ἐθώυμαζον. ὁ δὲ Ἀρταΰκτης ὡς εἶδε τὸ τέρας, καλέσας τὸν ὀπτῶντα τοὺς ταρίχους, ἔφη, ‘ Ξεῖνε Ἀθηναῖε, μηδὲν φοβέο τὸ τέρας ‘ τοῦτο. οὐ γάρ σοι πέφηνε, ἀλλ' ἐμοὶ ση- ‘ μαίνει ὁ ἐν Ἐλαιοῦντι Πρωτεσίλεως, ‘ ὅτι καὶ τεθνεὼς, καὶ τάριχος ἐὼν, δύ- ‘ ναμιν πρὸς θεῶν ἔχει τὸν ἀδικέοντα ‘ τίνεσθαι. νῦν ὦν ἄποινά οἱ τάδε ἐθέλω ‘ ἐπιθεῖναι· ἀντὶ μὲν χρημάτων τῶν ‘ ἔλαβον ἐκ τοῦ ἱροῦ, ἑκατὸν τάλαντα κα-

a MS. νεόαλωτοι.

perdiu ſeſe defenſaſſent, partim occubuerunt, partim vivi ſunt capti. Quos Graeci alligatos Seſtum duxerunt, interque eos Artayctem cum filio ſuo aeque ligatum.

119. Tunc uni eorum qui iſtos ſervabant fertur ab Cherſoneſitis, dum ſalſamenta torret, tale oſtentum extitiſſe: ſalſamenta igni impoſita reſiluerunt palpitaveruntque quemadmodum piſces recens capti. Qua de re quum circumfuſi admirarentur, Artayctes oſtentum ut vidit, accito viro qui ſalſamenta parabât, ' Hoſpes, inquit, Athenienſis, non eſt ' quod iſtud metuas oſtentum; quod non ' tua cauſſa effulſit, ſed mihi Proteſilaus ' qui eſt Elaeunte, ſignum dat, quanto- ' pere mortuus ac ſale conditus, habeat ' a diis poteſtatem, eum, a quo injuriam ' accepit, puniendi. Nunc igitur ei prae- ' mia redemptionis iſta tribuere in animo ' habeo: pro pecuniis quidem quas e tem-

'plo fustuli, huic deo centum talenta pen-
'dam: pro mea vero ipsius salute ac filii,
'ducenta talenta Atheniensibus.' Haec pollicens Xanthippum Atheniensium ducem non mitigavit, tum sua sponte animatum, tum ab Elaeusiis exoratum, quo Protesilaum ulciscerentur, ut hominem interimeret. Itaque adductum hunc in litus in quo Xerxes trajectum junxerat, (ut alii ajunt, in tumulum urbi Madyto imminentem) depacto humi assere suffixerunt, filio ante patris oculos lapidibus obruto.

120. His actis Athenienses in Graeciam remeaverunt, portantes tum alias pecunias, tum vero arma pontium, tanquam apud templa reposituri. Nec aliud praeterea quippiam gestum est per eum annum.

121. Hujus autem Artayctae, qui

' ταθεῖναι τῷ θεῷ· ἀντὶ δ' ἐμεωϋτοῦ καὶ
' τοῦ παιδὸς, ἀποδώσω τάλαντα διηκόσια
' Ἀθηναίοισι περιγενόμενος.' ταῦτα ὑποσχόμενος, τὸν στρατηγὸν Ξάνθιππον οὐκ ἔπειθε. οἱ γὰρ Ἐλαιούσιοι[b] τῷ Πρωτεσιλάῳ τιμωρέοντες, ἐδέοντό μιν καταχρησθῆναι, καὶ αὐτοῦ τοῦ στρατηγοῦ ταύτῃ ὁ νόος ἔφερε. ἀπαγαγόντες δὲ αὐτὸν ἐς τὴν ἀκτὴν ἐς τὴν Ξέρξης ἔζευξε τὸν πόρον, (οἱ δὲ λέγουσι, ἐπὶ τὸν κολωνὸν τὸν ὑπὲρ Μαδύτου πόλεος) σανίδα προσπασσαλεύσαντες, ἀνεκρέμασαν· τὸν δὲ παῖδα ἐν ὀφθαλμοῖσι τοῦ Ἀρταΰκτεω κατέλευσαν.

ρκ'. Ταῦτα δὲ ποιήσαντες ἀπέπλεον ἐς τὴν Ἑλλάδα, τά τε ἄλλα χρήματα ἄγοντες, καὶ δὴ καὶ τὰ ὅπλα τῶν γεφυρέων, ὡς ἀναθήσοντες ἐς ἱρά· καὶ κατὰ τὸ ἔτος τοῦτο, οὐδὲν ἔτι πλέον τουτέων ἐγένετο.

ρκα'. Τούτου δὲ τοῦ Ἀρταΰκτεω τοῦ ἀ-

[b] Ἐλεύσιοι.

νακρεμασθέντος προπάτωρ Αρτεμβάρης
ἐςὶ, ὁ Πέρσησι ἐξηγησάμενος λόγον, τὸν
ἐκεῖνοι ὑπολαβόντες, Κύρῳ προσήνεικαν,
λέγοντα τάδε, ‛ Επεὶ Ζεὺς Πέρσησι ἡ-
‛ γεμονίην διδοῖ, ἀνδρῶν δὲ σοὶ Κῦρε, κα-
‛ τελὼν Αςυάγεα, φέρε, γῆν γὰρ ἐκτή-
‛ μεθα ὀλίγην, καὶ ταύτην τρηχέην, με-
‛ ταναςάντες ἐκ ταύτης ἄλλην ἔχωμεν
‛ ἀμείνω· εἰσὶ δὲ πολλαὶ μὲν ἀςυγεί-
‛ τονες, πολλαὶ δὲ καὶ ἑκαςέρω· τῶν
‛ μίην σχόντες πλέοσι ἐσόμεθα θωϋμαςό-
‛ τεροι. εἰκὸς δὲ ἄρχοντας ἄνδρας τοι-
‛ αῦτα ποιέειν. κότε γὰρ δὴ καὶ παρέξει
‛ κάλλιον, ἢ ὅτε γε ἀνθρώπων τε πολ-
‛ λῶν ἄρχομεν, πάσης τε τῆς Ασιης;’
Κῦρος δὲ ταῦτα ἀκύσας, καὶ ὐ θωϋμά-
σας τὸν λόγον, ἐκέλευε ποιέειν ταῦτα.
ὕτω δὲ αὐτοῖσι παρήνεε κελεύων παρα-
σκευάζεσθαι ὡς ὐκέτι ἄρξοντας, ἀλλ᾽
ἀρξομένυς· φιλέειν γὰρ ἐκ τῶν μαλακῶν
χώρων μαλακὺς γίνεσθαι. ὐ γάρ τοι τῆς

ſuſpenſus eſt, avus paternus fuit Artembares, qui orationem quandam habuit apud Perſas, quam excipientes Perſae, ad Cyrum detulerunt in haec verba, ‘ Quandoquidem Perſis Jupiter principatum ‘ dedit, et ex viris tibi Cyre, Aſtyage dejecto, agedum demigrantes ex hac regione, quam exiguam habemus et aſperam, obtineamus meliorem aliam. ‘ Multae ſunt nobis confines, multae longinquae: quarum unam incolentes, efficiemur pluribus admirabiliores. Decet ‘ autem hoc eos viros facere qui imperant. ‘ nam quando facultas nobis praeſtabitur ‘ melior, quam dum multorum hominum ‘ imperium habemus, et univerſae Aſiae?’ Hac oratione audita, Cyrus haudquaquam admiratus, juſſit eos illud facere: ſed ita ut jubendo admoneret, ſe poſthac praepararent non ad imperandum aliis amplius, ſed aliis parendum. natura enim

comparatum esse, ut e mollibus regionibus molles viri existant, neve ex eadem terra admirandae fruges et egregii bello viri gignantur. Hac Cyri sententia Persae superati, discesserunt suam damnantes: praeoptaruntque exile solum incolentes, imperare aliis, quam campestre colentes, aliis servire.

CALLIOPES,
SIVE
NONI LIBRORUM HERODOTI
FINIS.

αὐτῆς γῆς εἶναι, καρπόν τε θωϋμαςὸν φύειν, καὶ ἄνδρας ἀγαθὺς τὰ πολέμια. ὥςε συγγνόντες Πέρσαι οἴχοντο ἀποςάντες, ἑσσωθέντες τῇ γνώμῃ πρὸς Κύρυ. ἄρχειν τε εἵλοντο, λυπρὴν οἰκέοντες, μᾶλλον ἢ πεδιάδα σπείροντες, ἄλλοισι δυλεύειν.

ΤΟ ΤΗΣ
ΚΑΛΛΙΟΠΗΣ,
Ἡ
ΤΟΥ ΕΝΝΑΤΟΥ ΤΩΝ ἩΡΟΔΟΤΟΥ,
ΤΕΛΟΣ.

ΕΞΗΓΗΣΙΣ

ΠΕΡΙ ΤΗΣ ΤΟΥ

ὉΜΗΡΟΥ

ΓΕΝΕΣΙΟΣ ΚΑΙ ΒΙΟΤΗΣ.

Ε Ξ Η Γ Η Σ Ι Σ

ΠΕΡΙ ΤΗΣ ΤΟΥ

ΟΜΗΡΟΥ

ΓΕΝΕΣΙΟΣ ΚΑΙ ΒΙΟΤΗΣ.

ἩΡΟΔΟΤΟΣ ὁ Ἁλικαρνασσεὺς περὶ Ὁμήρου γενέσιος καὶ ἡλικίης καὶ βιοτῆς τάδε ἱστόρηκε, ζητήσας ἐπεξελθεῖν εἰς τὸ ἀτρεκέστατον. ἐπεὶ γὰρ ἡ πάλαι Αἰολιῶτις Κύμη ἐκτίζετο, συνῆλθον ἐν ταυτῷ παντοδαπὰ ἔθνεα Ἑλληνικά, καὶ δὴ καὶ ἐκ Μαγνησίας, ἄλλοί τέ τινες, καὶ Μελάνωπος ὁ Ἰθαγενέος τοῦ Κρίθωνος, οὐ πολύφορτος[a], ἀλλὰ βραχέα τοῦ βίου ἔχων. οὗτός δὲ ὁ Μελάνωπος ἔγημεν ἐν τῇ Κύμῃ τὴν θυγατέρα Ομύρητος, καὶ αὐτῷ γίνεται ἐκ κοίτης θῆλυ τέκνον, ᾧ οὔνομα τίθεται Κριθηΐς. καὶ αὐτὸς μὲν ὁ Μελάνωπος καὶ ἡ γυνὴ αὐτοῦ ἐτελεύτησαν τὸν βίον· τὴν δὲ θυγατέρα ἐπιτρέπει ἀνδρὶ ᾧ ἐχρῆτο μάλιστα, Κλεάνακτι τῷ Ἀργείῳ.

β′. Χρόνου δὲ προϊόντος, συνέβη τὴν παῖδα μιγεῖσαν ἀνδρὶ λαθραίως, ἐν γαστρὶ σχεῖν. τὰ μὲν οὖν πρῶτα ἐλάνθανεν. ἐπεὶ δὲ ᾔσθετο ὁ Κλεάναξ, ἤχθετο τῇ συμφορῇ, καὶ καλεσάμενος τὴν Κριθηΐδα χωρὶς πάντων, ἐν αἰτίῃ μεγάλῃ εἶχεν, ἐπιλεγόμενος τὴν αἰσχύνην τὴν πρὸς τοὺς πολίτας, προβουλεύεται δὲ περὶ[b] αὐτῆς τά-

a MS. Ox. πολύφορτα. b Pal. οὖν περί.

ENARRATIO

DE

HOMERI

GENERE ET VITA.

HERODOTUS Halicarnaſſeus de natalibus, aetate atque vita Homeri iſta in hiſtoriam contulit, conatus quam veriſſime referre. Quum enim illa quondam Aeolum civitas Cyme conderetur, eodem cum aliae omnis Graeci generis gentes confluxerunt, tum e Magneſia et alii, et inter hos Melanopus Ithagene Crithonis filio genitus, homo fortunae non perinde amplae, ſed arctae et expeditae. Hic Melanopus in iſta Cyme Omyretis filiam duxit uxorem; procreavitque inde femineam prolem, cui nomen indidit Critheidem. Et ipſe Melanopus quidem una cum uxore vita functus eſt, commiſſa interim filia Cleanactis Argivi tutelae, quo familiariſſime uti conſueverat.

2. Porro tempore interjecto accidit, ut puella iſta e furtivo concubitu praegnans fieret: id quod primo ſuppreſſum quum Cleanax reſciviſſet, vehementer rei indignitate commotus, Critheidem ſeorſum ad ſe arceſſitam acerbe objurgavit, commemorans quae futura eſſet apud populares infamia. Poſtremo hujuſmodi quippiam

de illa excogitat. Cymaei tum in Hermei sinus recessu aedificabant. Civitati autem quae condebatur, nomen imposuit Smyrnam Theseus, ab uxoris nomine, cujus memoriam relinquere volebat. Hic Theseus ex primariis Thessalorum fuit, qui Cymen condiderant, ab Eumelo Admeti filio oriundus, vitae facultatibus apprime instructus. Clam exportatam huc Critheidem Cleanax Ismeniae Boeotio commisit, ex iis qui coloniam illuc duxerant, et in primis sibi amico.

3. Progressu deinde temporis, Critheis cum aliis mulieribus ad festum quoddam egressa, juxta fluvium Meletem, quum partui jam vicina esset, Homerum peperit, non caecum, sed videntem; nominavitque eum Melesigenem a fluvio. Quum autem apud Ismeniam Critheis antea diversata esset, ab eo digressa, manuaria industria se filiumque alebat, aliunde alia suscipiens opera; unde filium quoque quantum potuit, instituit.

4. Erat autem eo tempore Smyrnae quidam nomine Phemius, qui juventuti litteras musicenque aliam universam tradebat: hic quum esset solitarius, Critheidem conduxit, quae lanas quasdam pararet, quas a discipulis in mercedem acceperat. Illa vero in domo ejus operabatur multa elegantia multaque frugalitate utens, ut Phemio impense placeret: adeo ut tandem eam verbis ad conjugium solicitaret, referens cum alia multa quibus ei fidem facere putabat, tum praeterea de filio quem foret adoptaturus, qui liberaliter ab ipso altus institutusque vir egregius futurus esset. Siquidem hunc cer-

δε· ἔτυχον οἱ Κυμαῖοι κτίζοντες τοῦ Ἑρμείου κόλπου τὸν μυχόν· κτιζομένοισι δὲ τὴν πόλιν Σμύρναν ἔθετο τὸ ὄνομα Θησεύς, μνημεῖον ἐθέλων καταστῆσαι τῆς ἑωϋτοῦ γυναικὸς ἐπώνυμον. ἦν γὰρ αὐτῇ τοὔνομα Σμύρνη. ὁ δὲ Θησεὺς ἦν τῶν τὴν Κύμην κτισάντων ἐν τοῖς πρώτοις Θεσσαλῶν, ἀπὸ Εὐμήλου τοῦ Ἀδμήτου, κάρτα εὖ ἔχων τοῦ βίου. ἐνταῦθα ὑπεκτίθεται ὁ Κλεάναξ τὴν Κριθηΐδα πρὸς Ισμηνίην τὸν Βοιώτιον τῶν ἀποίκων λελογχότα, ὃς ἔτυχεν αὐτῷ ἐὼν ἑταῖρος ταμάλιστα.

γ'. Χρόνου δὲ προϊόντος ἐξελθοῦσα ἡ Κριθηῒς μετ' ἄλλων γυναικῶν πρὸς ἑορτήν τινα ἐπὶ τὸν ποταμὸν τὸν καλύμενον[c] Μέλητα, ἤδη ἐπίτοκος οὖσα, τίκτει τὸν Ὅμηρον, οὐ τυφλὸν, ἀλλὰ δεδορκότα· καὶ τίθεται ὄνομα τῷ παιδὶ Μελησιγενέα, ἀπὸ τοῦ ποταμοῦ τὴν ἐπωνυμίαν λαβοῦσα. τέως μὲν οὖν ἡ Κριθηῒς ἦν παρὰ τῷ Ισμηνίᾳ· προϊόντος δὲ τοῦ χρόνου ἐξῆλθε, καὶ ἀπὸ ἐργασίης χειρῶν ὡρμημένη ἔτρεφε τὸ παιδίον καὶ ἑωϋτὴν, ἄλλοτε παρ' ἄλλων ἔργα λαμβάνουσα· καὶ ἐπαίδευσε τὸν παῖδα ἀφ' ὧν ἐδύνατο.

δ'. Ην δέ τις ἐν Σμύρνῃ τοῦτον τὸν χρόνον Φήμιος τοὔνομα, παῖδας γράμματα καὶ τὴν ἄλλην μουσικὴν διδάσκων πᾶσαν. οὗτος μισθοῦται τὴν Κριθηΐδα, ὢν μονότροπος, ἐριουργῆσαι αὐτῷ ἔριά τινα ἃ παρὰ τῶν παίδων εἰς μισθοὺς ἐλάμβανεν. ἡ δὲ παρ' αὐτῷ εἰργάζετο, πολλῷ κοσμίῳ καὶ σωφροσύνῃ πολλῇ χρωμένη, καὶ τῷ Φημίῳ κάρτα ἠρέσκετο. τέλος δὲ προσηνέγκατο αὐτῇ λόγους, πείθων ἑωϋτῷ συνοικεῖν, ἄλλα τε πολλὰ λέγων οἷς μιν ᾤετο προσάξεσθαι, καὶ ἔτι περὶ τοῦ παιδὸς, υἱὸν ποιούμενος· καὶ ὅτι τραφεὶς καὶ παιδευθεὶς παρ' αὐτοῦ,

c Sic Ox. vulgo. τὸν ποταμὸν καλύμενον.

ἄξιος λόγυ ἔςαι· ἑώρα γὰρ τὸν παῖδα ὄντα συνετὸν καὶ κάρτα εὐφυέα. ἔςτ᾽ ἀνέπεισεν αὐτὴν ποιέειν ταῦτα.

ε΄. Ὁ παῖς δὲ ἦν τε φύσιν ἔχων ἀγαθὴν, ἐπιμελίης τε καὶ παιδεύσιος προσγινομένης, αὐτίκα πολλὸν τῶν πάντων ὑπερεῖχε. χρόνυ δὲ ἐπιγενομένυ ἀνδρύμενος, ὐδὲν τῦ Φημίυ ὑποδεέςερος ἦν ἐν τῇ διδασκαλίῃ. καὶ ὕτως ὁ Φήμιος ἐτελεύτησε τὸν βίον, καταλιπὼν πάντα τῷ παιδί. ὐ πολλῷ δὲ ὕςερον καὶ Κριθηὶς ἐτελεύτησεν. ὁ δὲ Μελησιγενὴς ἐπὶ τῇ διδασκαλίῃ καθειςήκει. καθ᾽ ἑωϋτὸν δὲ γινόμενος, μᾶλλον ὑπὸ τῶν ἀνθρώπων ἑωρᾶτο· καὶ αὐτῦ θωϋμασαὶ καθειςήκεισαν οἵ τε ἐγχώριοι καὶ τῶν ξένων οἱ ἐσαπικνεόμενοι. ἐμπόριον γὰρ ἦν ἡ Σμύρνη, καὶ σῖτος ἐξήγετο πολὺς αὐτόθι ἐκ τῆς ἐπικειμένης χώρας δαψιλέως κάρτα ἐσαγόμενος ἐς αὐτήν. οἱ ὖν ξένοι, ὁκότε παύσοιντο τῶν ἔργων, ἀπεχόλαζον παρὰ τῷ Μελησιγενεῖ ἐγκαθίζοντες.

ς΄. Ἦν δὲ ἐν αὐτοῖς τότε καὶ Μέντης ναύκληρος ἀπὸ τῶν περὶ Λευκάδα τόπων καταπεπλευκὼς ἐπὶ σῖτον, ἔχων ναῦν, πεπαιδευμένος τε ἀνὴρ ὡς ἐν ἐκείνῳ τῷ χρόνῳ καὶ πολυΐςωρ· ὅς μιν ἔπεισε τὸν Μελησιγενῆ μεθ᾽ ἑωϋτῦ πλέειν καταλύσαντα τὴν διδασκαλίαν, μισθόν τε λαμβάνοντα, καὶ τὰ δέοντα πάντα, καὶ ὅτι χώρας[d] καὶ πόλιας θεήσασθαι ἄξιον εἴη αὐτῷ ἕως νέος ἐςί. καί μιν οἴομαι μάλιστα τύτοισι προαχθῆναι· ἴσως γὰρ καὶ τῇ ποιήσει τότε ἐπενόει ἐπιθήσεσθαι. καταλύσας δὲ τὴν διδασκαλίαν, ἐναυτίλλετο μετὰ τοῦ Μέντεω. καὶ ὅπυ ἑκάςοτε ἀφίκοιτο, πάντα τὰ ἐπιχώρια διεωρᾶτο, καὶ ἱςορέων

d Pal. ὅτι τε χώρας.

nebat jam miram quandam et ingenii et indolis ſpem de ſe polliceri: donec perſuaſit illi in hoc conſentire.

5. Meleſigenes cum naturae bonitate praeſtans, tum cura accedente inſtitutioneque, continuo omnes adoleſcentes multum anteceſſit: atque temporis progreſſu vir factus, nihilo erat ipſo Phemio in doctrina inferior. Et quum Phemius vita functus univerſa ei legaſſet, non multo poſt Critheis quoque fato concedit. Meleſigenes itaque ludo praefectus, ſuique jam juris effectus, magnopere ab hominibus conſpiciebatur, et in admiratione erat non apud ſuos modo, verum apud peregrinos etiam, qui illuc conveniebant. Erat enim Smyrna emporium celebre, unde frumenta e vicinis agris abunde convecta exportabantur. Peregrini igitur quum ab opere ceſſarent, Meleſigeni libenter vacabant conſidentes.

6. Commodum inter hos Mentes fuit nauclerus, qui e finibus Leucadis nave ſua huc navigaverat propter frumenta, vir, quantum illa ferebant tempora, et eruditus, et multarum rerum notitia excellens. Hic Meleſigeni perſuaſit, ut relicto ludo ſecum navigaret, accepturus et mercedem et omnia neceſſaria; et quod dum juvenis eſſet, civitates regioneſque ſpectare operae pretium illi fore duceret. Et per talia potiſſimum eum arbitror pellectum. Forſan enim quoque poeſi jam animum admovere cogitabat. Proinde diſſoluto ludo cum Mente navigavit: et quocunque locorum appellebat, ſtudioſe univerſa perrogabat, quae forent peculiaria et inſpiciens

refcifcebat; apparet etiam commentarios eum de fingulis fcripfiffe.

7. Porro quum ex Etruria et Hifpania delati in Ithacam deveherentur, contigit Melefigenem oculis jam ante aegrum, extreme laborare: ita ut Mentes, in Leucadem trajecturus, eum medicinae cauffa apud Mentorem Alcimi filium Ithacenfem reliquerit, hominem fibi vehementer amicum; multis precibus adigens eundem quo Melefigenis curam haberet tantifper dum e Leucade revertens ipfum reciperet. Mentor vero aegrotantem Melefigenem fedulo curavit, vir nimirum facultatibus pollens: quique ob egregiam aequitatem hofpitalitatemque ex Ithacenfibus maxime praedicaretur. Atque hic accidit, ut de Ulyffe multa Melefigenes percontando cognofceret. Narrantque ipfi Ithacenfes, tum vifum eum amififfe ibidem: atqui ego affirmare non dubitem, tum eundem convaluiffe, at poftea apud Colophonem prorfus caecum factum fuiffe. id quod ipfi quoque Colophonii mecum fatentur.

8. At vero Mentes e Leucade Ithacam reverfus, Melefigenem recepit, cum quo inde diu huc illuc circumnavigavit; donec Colophonem appellenti eveniret, ut vetere oculorum morbo tentatus, nequiverit eum effugere, fed vifu privatus fuerit. E Colophone autem jam caecus Smyrnam remeans, ad poefin fe convertit.

9. Tempore deinde interjecto, quum Smyrnae victu neceffariifque deftitueretur, conftituit Cymen proficifci:

ἐπυνθάνετο. εἰκὸς δέ μιν ἦν καὶ μνημόσυνα πάντων γράφεσθαι.

ζʹ. Ἀνακομιζόμενοι δὲ ἐκ Τυῤῥηνίας καὶ τῆς Ἰβηρίης, ἀπικνέονται εἰς Ἰθάκην· καὶ τῷ Μελησιγενεῖ συνέβη, νοσήσαντι τοὺς ὀφθαλμοὺς, κάρτα δεινῶς ἔχειν, καὶ αὐτὸν θεραπείης εἵνεκα, πλεῖν μέλλων εἰς τὴν Λευκάδα, καταλιπεῖν ὁ Μέντης παρὰ ἀνδρὶ φίλῳ ἑωϋτοῦ ἐς τὰ μάλιστα Μέντορι τῷ Ἀλκίμου Ἰθακησίῳ, πολλὰ δεηθεὶς ἐπιμελίην[e] ἔχειν· ἐπαναπλώσας δὲ, ἀναλήψεσθαι αὐτόν. ὁ δὲ Μέντωρ ἐνοσήλευσεν[f] αὐτὸν ἐκτενέως. καὶ γὰρ τοῦ βίου ἀρκεόντως εἶχε, καὶ ἤκουεν εὖ ἐς δικαιοσύνην τε καὶ φιλοξενίην μακρῷ μάλιστα τῶν ἐν Ἰθάκῃ ἀνδρῶν. ἐνταῦθα συνέβη τῷ Μελησιγενεῖ περὶ Ὀδυσσέως ἐξιστορῆσαι πυθέσθαι[g]. οἱ μὲν δὴ Ἰθακήσιοι λέγουσι τότε μιν παρ' ἑωϋτοῖς τυφλωθῆναι· ὡς δὲ ἐγώ φημι, τότε μὲν ὑγιῆ γενέσθαι, ὕστερον δὲ ἐν Κολοφῶνι τυφλωθῆναι. συνομολογοῦσι δέ μοι καὶ Κολοφώνιοι τούτοις.

θʹ. Ὁ δὲ Μέντης, ἀναπλέων ἐκ τῆς Λευκάδος προσέσχεν εἰς τὴν Ἰθάκην, καὶ ἀνέλαβε τὸν Μελησιγενέα· χρόνον τε ἐπὶ συχνὸν συμπεριέπλει αὐτῷ. ἀπικομένῳ δὲ ἐς Κολοφῶνα συνέβη πάλιν νοσήσαντα τοὺς ὀφθαλμοὺς, μὴ δύνασθαι διαφυγεῖν τὴν νόσον, ἀλλὰ τυφλωθῆναι ἐνταῦθα. ἐκ δὲ τῆς Κολοφῶνος τυφλὸς ἐὼν ἀπικνέεται εἰς τὴν Σμύρναν, καὶ οὕτως ἐπεχείρει τῇ ποιήσει.

θʹ. Χρόνου δὲ προϊόντος ἐν τῇ Σμύρνῃ ἄπορος ἐὼν τοῦ βίου, διενοήθη ἀπικέσθαι ἐς Κύμην· πορευόμενος

e Pal. ἐπιμελέην. f Pal. ἐνοσήλευεν. g Pal. ἐξιστορῆσαι καὶ συνθέσθαι et Ox.

δὲ διὰ τῦ Ἕρμυ πεδίυ, ἀπικνέεται ἐς Νέον τεῖχος, ἀποικίην Κυμαίων. ᾠκίσθη δὲ τῦτο τὸ χωρίον ὕςερον Κύμης ἔτεσιν ὀκτώ. ἐνταῦθα λέγεται αὐτὸν ἐπιςάντα ἐπὶ σκυτεῖον τι, εἰπεῖν πρῶτα τὰ ἔπεα τάδε,

Αἰδεῖσθε ξενίων κεχρημένον ἠδὲ δόμοιο,
Οἳ πόλιν αἰπεινὴν Κύμην Ἐριώπιδα κύρην
Ναίετε, Σαρδήνης πόδα νείατον ὑψικόμοιο·
Ἀμβρόσιον πίνοντες ὕδωρ θείυ ποταμοῖο
Ἕρμυ δινήεντος, ὃν ἀθάνατος τέκετο Ζεύς.

ἡ δὲ Σαρδήνη, ὄρος ἐςὶν ὑπερκείμενον τοῦ τε Ἕρμυ ποταμῦ καὶ τῦ Νέυ τείχυς. τῷ δὲ σκυτεῖ ὄνομα ἦν Τύχιος· ἀκύσαντι δὲ τῶν ἐπέων ἔδοξεν αὐτῷ δέξασθαι τὸν ἄνθρωπον. ἤλεησε γὰρ ἀλγέοντα τυφλὸν, καὶ μεθέξειν[a] ἔφη τῶν παρεόντων. ὁ δὲ ἐσῆλθε, κατήμενος δὲ ἐν τῷ σκυτείῳ, παρεόντων καὶ ἄλλων, τήν τε ποίησιν αὐτοῖς ἐπεδείκνυτο, Ἀμφιάρεώ τε τὴν ἐξελασίαν τὴν ἐς Θήβας, καὶ τὺς ὕμνυς τὺς ἐς θεὺς πεποιημένυς αὐτῷ· καὶ περὶ τῶν λεγομένων ὑπὸ τῶν παρεόντων ἐς τὸ μέσον γνώμας ἀποφαινόμενος, θωῦματος ἄξιος ἐφαίνετο εἶναι τοῖς ἀκύυσι.

ι'. Τέως μὲν ὖν κατεῖχεν ὁ Μελησιγενὴς περὶ τὸ Νέον τεῖχος, ἀπὸ τῆς ποιήσιός γε τῦ βίυ τὴν μηχανὴν ἔχων. ἐδείκνυον δὲ οἱ Νεοτειχεῖς μέχρις ἐπ' ἐμῦ τὸν χῶρον ἐν ᾧ κατίζων τῶν ἐπέων τὴν ἐπίδειξιν ἐποιέετο. καὶ κάρτα ἐσέβοντο τὸν τόπον· ἐν ᾧ καὶ αἴγειρος ἐπεφύκει, ἣν ἐκεῖνοι ἔφασαν, ἀφ' ὗ ὁ Μελησιγενὴς ἦλθεν, αὐτοῖς πεφυκέναι.

a Pal. αἰτέοντα τυφλὸν καὶ ἐκέλευσεν ἐσιέναι τε αὐτὸν εἰς τὸ ἐργαστήριον καὶ μεθεξ.

commodumque transiens Hermi pratum, ad eum locum pervenit qui appellatur Novus murus, Cymaeorum coloniam. qui locus post Cymen conditus fuit annis octo. Hic memoratur Melesigenes apud coriarii officinam consistens, haec prima carmina pronunciavisse,

' Hospitium praebete viro profugoque vagoque
' Qui sublimem urbem Cymen, Eriopida prolem,
' Radicem incolitis Sardenes alticomantis,
' Divini potatis aquam qui fluminis Hermi,
' Vorticibus torti, pater est cui Juppiter ipse.

Sardena autem mons est imminens Hermo fluvio Novoque muro. At coriario illi nomen erat Tychio, cui continuo auditis versibus visum est hominem recipiendum. miseratus enim est miserum et oculis mulctatum: jussitque praesentibus secum frui. Ille fuit ingressus, et considens in sutrina, praesentibus etiam aliis, tum poesin suam ostendit, et Amphiarai in Thebas expeditionem, et hymnos quos in deos scripserat. Et quum de illis, quae edebantur ab praesentibus in medium, judicaret, ac sensus suos proferret, in admiratione habitus est ab auscultantibus.

10. Atque hactenus apud Novum murum agens e poesi victus subsidia habebat: ostenduntque ad mea usque tempora Neoteichenses locum, ubi sedens carmina sua exhibuerit, eumque in magna habent veneratione, ubi etiam populus arbor crevit, quam ab Melesigenae adventu in eo dixerunt natam esse.

11. Porro egeftate poftea adactus, quum vix alimenta haberet, ftatuit Cymen ad feliciorem fucceffum reverti. Iturufque haec pronunciat carmina,

'Vos me hominum rapide plantae portetis in urbem,
'Quorum animus promptus, pollent qui mente
'fagaci.'

E Novo igitur muro proficifcens venit Cymam, per Lariffam itinere facto, utpote facillimo: et, ut Cymaei narrant, flagitantibus ejus foceris, epigramma hoc fcripfit Midae Phrygiae regi Gordii filio, id quod etiam nunc in cippo monumenti Gordii infcriptum extat,

'Aenea fum virgo, Midae quae incumbo fepulcro:
'Dum fluit unda levis, fublimis nafcitur arbor,
'Dum fol exoriens et fplendida luna relucet,
'Dum fluvii labuntur, inundant litora fluctus,
'Hic conftanter ago, lacrymafque in marmore tincto
'Fixa, Midam moneo tumulatum hic, chare viator.

12. Cymae igitur in fenum conventiculis carmina quae fecerat oftentabat, colloquiique fuavitate aufcultantes oblectans, etiam in fui admirationem pertrahebat. Intelligens igitur Cymaeos poëfin fuam grate recipere, et in confuetudinem audientes ducens poftremo hujufmodi conditionem proponit, dicens fi publice eum alere vellent, fe civitatem illorum celeberrimam redditurum,

ια'. Χρόνȣ δὲ προϊόντος, ἀπόρως κείμενος, ϗ μόλις τὴν τροφὴν ἔχων, ἐπενοήθη εἰς τὴν Κύμην ἀπικέσθαι, ὅτι βέλτιον πρήξει. μέλλων δὲ πορεύεσθαι, τάδε τὰ ἔπεα λέγει,

Αἶψα πόδες με φέροιεν ἐς αἰδοίων πόλιν ἀνδρῶν·
Τῶν γὰρ ϗ θυμὸς πρόφρων ϗ μῆτις ἀρίστη.

ἀπὸ δὲ τȣ̃ Νέȣ τείχεος πορευόμενος, ἀπίκετο εἰς τὴν Κύμην, διὰ Λαρίσσης τὴν πορείαν ποιησάμενος· ἦν γὰρ ȣ̃τως αὐτῷ εὐπορώτατον. καὶ, ὡς Κυμαῖοι λέγȣσι, τῷ Φρυγίης βασιλῆϊ Μίδῃ τῷ Γορδίεω, δεηθέντων πενθερῶν αὐτȣ̃, ποιεῖ καὶ ἐπίγραμμα τόδε b, τὸ ἔτι ϗ νῦν ἐπὶ τῆς στήλης τȣ̃ μνήματος τȣ̃ Γορδίεω ἐπιγέγραπται,

Χαλκῆ παρθένος εἰμὶ, Μίδȣ δ' ἐπὶ σήματι κεῖμαι·
Ἐστ' ἂν ὕδωρ τε ῥέῃ, ϗ δένδρεα μακρὰ τεθήλῃ,
Ἠέλιός τ' ἀνιὼν λάμπῃ, λαμπρά τε σελήνη,
Καὶ ποταμοὶ ῥέωσιν, ἀνακλύζῃ δὲ θάλασσα,
Αὐτȣ̃ τῇδε μένȣσα πολυκλαύτῳ ἐπὶ τύμβῳ c
Ἀγγελέω παριȣ̃σι, Μίδης ὅτι τῇδε τέθαπται.

ιβ'. Καθίζων δὲ ἐν ταῖς λέσχαις τῶν γερόντων ἐν τῇ Κύμῃ ὁ Μελησιγενὴς τὰ ἔπεα τὰ πεποιημένα αὐτῷ ἐπεδείκνυτο, ϗ ἐν τοῖς λόγοις ἔτερπε τȣ̀ς ἀκȣ́οντας· ϗ αὐτȣ̃ θωϋμασαὶ καθειστήκεισαν. γνȣ̀ς δὲ ὅτι ἀποδέκονται αὐτȣ̃ τὴν ποίησιν οἱ Κυμαῖοι, ϗ εἰς συνήθειαν ἕλκων τȣ̀ς ἀκȣ́οντας, λόγȣς πρὸς αὐτȣ̀ς τοιȣ́σδε προσηνέγκε, λέγων ὡς εἰ θέλοιεν αὐτὸν δημοσίῃ τρέφειν, ἐπι-

b Pal. ποιεῖ τὸ ἐπίγραμμα τόδε. c Pal. πολυκλαύτου ἐπὶ τύμβου.

κλεεςάτην αὐτῶν τὴν πόλιν ποιήσει. τοῖς δὲ ἀκϐσι, βϐλομένοις τε ἦν ταῦτα, ϗ αὐτοὶ παρῄνεον ἐλθόντα ἐπὶ τὴν βϐλὴν δεηθῆναι τῶν βϐλευτέων· καὶ αὐτοὶ ἔφασαν συμπρήξειν. ὁ δὲ ἐπείθετο αὐτοῖς, ϗ βϐλῆς συλλεγομένης ἐλθὼν ἐπὶ τὸ βϐλεῖον, ἐδεῖτο τϐ ἐπὶ τῇ τιμῇ ταύτῃ καθεςῶτος, ἀπαγαγεῖν αὐτὸν d ἐπὶ τὴν βϐλήν. ὁ δὲ ὑπεδέξατό τε, ϗ, ἐπεὶ καιρὸς ἦν, ἀπήγαγε. καλαςὰς δὲ ὁ Μελησιγενὴς ἔλεξε περὶ τῆς τροφῆς τὸν λόγον ὃν καὶ ἐν ταῖς λέσχαις ἔλεγε. ὡς δὲ εἶπεν, ἐξελθὼν ἐκάθητο.

ιγʹ. Οἱ δὲ ἐϐϐλεύοντο ὅ,τι χρεὼν εἴη ἀποκρίνασθαι αὐτῷ. προθυμϐμένϐ δὲ τϐ ἀπάγοντος αὐτὸν, ϗ ἄλλων ὅσοι τῶν βϐλευτέων ἐν ταῖς λέσχαις ἐπήκοοι ἐγίνοντο, τῶν βϐλευτέων ἕνα λέγεται ἐναντιωθῆναι τῇ χρήμῃ αὐτϐ, ἄλλα τε πολλὰ λέγοντα, ϗ ὡς εἰ τὺς ὁμήρϐς δόξει τρέφειν αὐτοῖς, ὅμιλον πολλόν τε ϗ ἀχρεῖον ἕξϐσιν. ἐντεῦθεν δὲ καὶ τὔνομα Ὅμηρος ἐπεκράτησε τῷ Μελησιγενεῖ ἀπὸ τῆς συμφορῆς· οἱ γὰρ Κυμαῖοι τὺς τυφλὺς ὁμήρϐς λέγϐσιν· ὥςε πρότερον ὀνομαζομένϐ αὐτϐ Μελησιγενέος, τϐτο γενέσθαι τὔνομα Ὅμηρος·

ιδʹ. Καὶ οἱ ξένοι διήνεγκαν, ὅτε μνήμην αὐτϐ ἐποιεῦντο. ἐτελεύτα δ' ὖν ὁ λόγος τῷ ἄρχοντι μὴ τρέφειν τὸν Ὅμηρον, ἔδοξε δέ πως καὶ τῇ e ἄλλῃ βϐλῇ. ἐπελθὼν δὲ ὁ ἐπιςάτης ϗ παρεζόμενος αὐτῷ διηγήσατο τὺς ἐναντιωθέντας λόγϐς τῇ χρήμῃ αὐτϐ, καὶ τὰ δόξαντα τῇ βϐλῇ. Ὁ δὲ, ὡς ἤκϐσεν, ἐσυμφόρηνέ τε ϗ λέγει τὰ ἔπεα τάδε,

Οἵῃ μ' αἴσῃ δῶκε πατὴρ Ζεὺς κύρμα γενέσθαι,

d Pal. αὐτὸν. e Sic MS. Ox. vulgo δέ πως τῇ.

Qui praesentes haec audiebant, probabant; addentes se quoque adjuturos, si petitionem suam ad senatum referret, quod hortabantur eum facere. Melesigenes his verbis erectus, collecto senatu in curiam processit: rogatoque eo cujus id muneris erat, ut in senatum duceretur, ille nihil recusans, ubi opportunum erat, hominem deduxit. Hic consistens Melesigenes, eadem verba de alimentis habuit in senatu quae paulo ante in conventiculis proposuerat. Ubi dixisset, egressus sedebat.

13. Dum autem senatores agitarent quidnam par esset homini respondere, visumque esset cum ei qui deduxerat, tum aliis senatoribus quotquot in conventiculis eum audierant, petitionem admittendam: unus tantum e senatoribus refertur Melesigenis postulatis calculo suo repugnasse, interque alia multa, haec quoque commemorasse: si semel ὀμήρυς, hoc est, caecos, alendos susciperent, futurum esse, ut turbam et multam et inutilem haberent. Atque hinc primum Homeri nomen Melesigeni inditum est, ab isto casu. nam Cymaei caecos ὀμήρυς appellant. Jamque inde, qui prius Melesigenes, nomen obtinuit Homerus.

14. Et extraneos discrepare contigit, quum mentionem ejus facerent. Itaque terminata est deliberatio ab magistratu, non alere Homerum, placuitque id fere caetero senatui. Accedens autem praefectus et adsidens ipsi enarravit contrarias petitioni ejus sententias et consulta senatus: utque audiit, his versibus calamitatem suam deplorabat,

' Hei mihi quam fatum dat Juppiter almus iniquum.

'Infanti mihi lac venerandae ex ubere matris
'Praebuit, Aeolicae Smyrnae, quam Martia quon-
'dam
'Gens Phriconitis, certamine fortis equestri,
'Condidit ad pelagus, praeterlabente Melete.
'Docta Jovis proles mecum hinc digressa volebat
'Carminibus celebrare urbem, quam nomine dicunt
'Cymam, quosque viros intra sua moenia claudit.
'Illi audire sacrae spreverunt carmina vocis.
'Sed quicunque mihi cladem exitiumque paravit,
'Non impune feret laeva quod mente volutat.
'At mihi quam dederint nascenti numina sortem,
'Aegro animo quamvis, certum est perferre patique.
'Sed jam per sacrae vestigia ponere Cymae
'Compita non suadet mihi mens, potiusque remota
'Inque peregrina sedem mihi quaerere terra.'

15. Cyma deinde abiens Phocaeam contendit, imprecans interim Cymaeis, nequis unquam insignis poëta in illa regione existeret qui Cymaeos celebraret. Phocaeae autem eodem modo victum paravit, in conventiculis passim carmina sua ostentans et considens. Erat autem eo tempore in illa Thestorides quidam, qui pueros litteras docebat, homo fidei parum probatae. Hic considerata Homeri poësi, hujusmodi verbis eum compellavit, paratum se inquiens et ministrare ei, et victum suppeditare, si carmina quae meditatus esset, describere pateretur, et alia subinde faciens, ad se deferret.

Νήπιον αἰδοίης ἐπὶ γύνασι μητρὸς ἀτάλλων,
Ἥν ποτ᾽ ἐπύργωσαν βυλῇ Διὸς αἰγιόχοιο
Λαοὶ Φρίκωνος, μάργων ἐπιβήτορες ἵππων·
Ὁπλότεροι μαλεροῖο πυρὸς κρίνοντες Ἄρηα
Αἰολίδα Σμύρνην ἁλιγείτονα ποτνιάνακτον·
Ἥν τε δι᾽ ἀγλαὸν εἶσιν ὕδωρ ἱεροῖο Μέλητος,
Ἔνθεν ἀπορνύμεναι κῦραι Διὸς, ἀγλαὰ τέκνα,
Ἠθελέτην κλῆϊσαι δῖαν χθόνα καὶ πόλιν ἀνδρῶν.
Οἱ δ᾽ ἀπανηνάσθην ἱερὴν ὄπα, φημὶ ἀοιδήν.
Ἀφραδίην τῶν μέν τε παθών τις φράσσεται αὖθις,
Ὅς σφιν ὀνειδείησιν ἐμὸν διεμήσατο πότμον.
Κῆρα δ᾽ ἐγὼ τήν μοι θεὸς ὤπασε γεινομένῳ περ,
Τλήσομαι ἀκράαντων φέρων τετληότι θυμῷ.
Οὐδέ τι μοι φίλα γυῖα μένειν ἱερῇς ἐν ἀγυιῇς
Κύμης ὁρμαίνυσι, μέγας δέ με θυμὸς ἐπείγει
Δῆμον ἐς ἀλλοδαπὸν ἰέναι ὀλῖγον περ ἐόντα.

ιε΄. Μετὰ τῦτο ἀπαλλάσσεται ἐκ τῆς Κύμης ἐς Φωκαίην, Κυμαίοις ἐπαρησάμενος μηδένα ποιητὴν δόκιμον ἐν τῇ χώρᾳ γενέσθαι ὅστις Κυμαίυς ἐπαγλαΐει. ἀπικόμενος δὲ ἐς Φωκαίην, τῷ αὐτῷ τρόπῳ ἐβιότευσεν, ἔπεα ἐνδεικνύμενος ἐν ταῖς λέσχαις κατίζων. ἐν δὲ τῇ Φωκαίῃ τῦτον τὸν χρόνον Θεσορίδης τις ἦν γράμματα διδάσκων τὺς παῖδας, ἀνὴρ ὐ κρήγυος· κατανοήσας δὲ τῦ Ὁμήρυ τὴν ποίησιν, λόγυς τοιύσδε αὐτῷ προσήνεγκε, φὰς ἕτοιμος εἶναι θεραπεύειν καὶ τρέφειν αὐτὸν ἀναλαβὼν, εἰ ἐθέλοι ἅγε πεποιημένα εἴη αὐτῷ τῶν ἐπέων ἀναγράψασθαι, καὶ ἄλλα ποιῶν, πρὸς ἑωϋτὸν ἀναφέρειν αἰεί.

ιϛ΄. Τῷ δὲ Ὁμήρῳ ἀκούσαντι, ἔδοξε ποιητέα εἶναι ταῦτα· ἐνδεὴς γὰρ ἦν f τῶν ἀναγκαίων καὶ θεραπείης. διατρίβων δὲ παρὰ τῷ Θεστορίδῃ, ποιεῖ Ἰλιάδα τὴν ἐλάσσω, ἧς ἡ ἀρχὴ,

Ἴλιον ἀείδω καὶ Δαρδανίην εὔπωλον,
Ἧς πέρι πολλὰ πάθον g Δαναοὶ, θεράποντες Ἄρηος·

καὶ τὴν καλουμένην Φωκαΐδα, ἥν φασιν οἱ Φωκαεῖς Ὅμηρον παρ' αὐτοῖσι ποιῆσαι. ἐπεὶ δὲ τήν τε Φωκαΐδα καὶ τἆλλα πάντα παρὰ τοῦ Ὁμήρου ὁ Θεστορίδης ἐγράψατο, διενοήθη ἐκ τῆς Φωκαίης ἀπαλλάσσεσθαι, τὴν ποίησιν θέλων τοῦ Ὁμήρου ἐξιδιώσασθαι· καὶ οὐκ ἔτι ὁμοίως ἐν ἐπιμελείᾳ εἶχε τὸν Ὅμηρον. ὁ δὲ λέγει αὐτῷ τὰ ἔπεα τάδε,

Θεστορίδης, θνητοῖσιν ἀνωΐστων πολέων περ,
Οὐδὲν ἀφραστότερον πέλεται νόου ἀνθρώποισιν.

ὁ μὲν δὴ Θεστορίδης ἐκ τῆς Φωκαίης ἀπηλλάγη ἐς τὴν Χίον, καὶ τὴν διδασκαλίην h κατεσκευάσατο· καὶ τὰ ἔπεα ἐπιδεικνύμενος ὡς ἑωϋτοῦ ἐόντα, ἔπαινόν τε πολλὸν εἶχε καὶ ὠφελεῖτο· ὁ δὲ Ὅμηρος πάλιν τὸν αὐτὸν τρόπον διῃτᾶτο ἐν τῇ Φωκαίῃ, ἀπὸ τῆς ποιήσιος τὴν βιοτὴν ἔχων.

ιζ΄. Χρόνῳ δὲ οὐ πολλῷ μετέπειτα ἄνδρες Χῖοι ἔμπειροι i ἀπίκοντο ἐς τὴν Φωκαίην· ἀκούσαντες δὲ τῶν ἐπέων τοῦ Ὁμήρου ἃ πρότερον ἀκηκόεσαν πολλάκις ἐν τῇ Χίῳ τοῦ Θεστορίδεω, ἐξήγγελλον ὅτι ἐν τῇ Χίῳ τὶς

f Pal. γὰρ εἶναι. g Pal. πολλ' ἔπαθον. h Pal. καὶ διδασκαλίην. i Pal. ἔμποροι.

16. Homerus, jam miniſterii alicujus atque adeo neceſſariorum indigens, recipiendam hanc conditionem putavit: commoratuſque apud Theſtoridem, minorem illam facit Iliadem, cujus initium eſt,

'Trojam et Dardaniam canto, quae mater equorum,
'Quae Danais Mavorte ſatis mala plurima vexit.'

Phocaidem quoque quam vocant, Phocaeenſes apud ſe conditam ab Homero ajunt. Jam vero Theſtorides, ubi Phocaidem atque alia omnia ab Homero communicata deſcripſiſſet, conſtituit e Phocaea diſcedere, Homerique poëſin pro ſua venditare. Unde factum, ut quum Homeri non perinde curam haberet, ille ad Theſtoridem hujuſmodi ſit uſus diſticho,

'Theſtoride, ex multis, mortalibus abdita quae ſunt,
'Mens habet in primis caecos humana receſſus.'

Theſtorides igitur ex Phocaea Chium conceſſit: ubi erecto ludo, carmina illa pro ſuis evulgans, egregiam ſimul laudem ſibi paravit et fructum. Porro Homerus iterum priſtino more vivere pergebat apud Phocaeenſes, e poëſi victum habens.

17. Tempore deinde non multo, viri aliquot e Chio eorum periti Phocaeam veniunt; et audientes Homeri carmina quae antea ſaepius in Chio a Theſtoride audierant, indicabant in Chio haec ipſa a quodam ludima-

giſtro pro ſuis cum magno fructu oſtentari. Homerus intelligens continuo Theſtoridem eſſe, toto ſtudio properabat in Chium tranſmittere. Et quum portum adiiſſet, neque offendiſſet navem quae illuc trajiceret, eſſent autem qui ob ligna in Erythraeam ſolvere pararent, belle convenire videbatur, ſi per Erythraeam iter faceret. Accedens igitur nautas, oravit ut comitem ſe navigationis reciperent, multis blandiſque uſus verbis, quibus quod deſideraret perſuaderet. Nautae admittentes hominis preces, juſſerunt navem eum conſcendere. Quo impetrato Homerus conſidens in navi, his verſibus nautis bene precatur,

'Audi qui pelagus valido Neptune tridenti
'Imperioque regis, ſpatioſaque culta Heliconis:
'Da precor his nautis reditum, ventoſque ſecundos,
'Qui mihi ſunt comites placidi, naviſque magiſtri:
'At mihi da miſero ſacram contingere terram,
'Aërius qua parte Mimas ad ſidera ſurgit,
'Inde hominis juſti me fac ſuccedere tectis,
'Ulciſcique virum qui me improbitate fefellit,
'Laeſit et hoſpitii ſacra jura Jovemque benignum.'

18. Ubi autem ſecundo vento Erythraeam appuliſſent, Homerus in navi diverſatus eſt. poſtero autem die rogavit, ut nautarum aliquis ad urbem eum duceret. Illi unum e ſuis ſimul miſerunt. Quumque jam pergendo ad Erythraeam appropinquaſſet, quae eſt aſpera atque montoſa, in haec prorupit carmina,

ἐπιδεικνύμενος τὰ ἔπεα ταῦτα γραμμάτων διδάσκαλος, κάρτα πολλὸν ἔπαινον ἔχει a. ὁ δὲ Ὅμηρος κατενόησεν ὅτι Θεσορίδης ἂν εἴη, καὶ παντὶ θυμῷ ἐσπούδαζεν εἰς τὴν Χίον ἀπικέσθαι. καταβὰς δὲ ἐπὶ τὸν λιμένα, ἐς μὲν τὴν Χίον οὐ καταλαμβάνει οὐδὲν πλοῖον πλέον, ἐς δὲ τὴν Ἐρυθραίην τινὲς ἐπὶ ξύλα παρεσκευάζοντο πλεῖν. καλῶς δὲ εἶχε τῷ Ὁμήρῳ δι' Ἐρυθραίης τὸν πλοῦν ποιήσασθαι. καὶ προσελθὼν ἐχρήϊζε παρὰ τῶν ναυτέων δέξασθαι αὐτὸν σύμπλουν, πολλά τε καὶ προσαγωγὰ b λέγων οἷς σφέας ἔμελλε πείσειν. τοῖς δὲ ἔδοξε δέξασθαι αὐτόν· καὶ ἐκέλευον ἐσβαίνειν εἰς τὸ πλοῖον. ὁ δὲ Ὅμηρος πολλὰ ἐπαινέσας αὐτοὺς, ἐσέβη· καὶ ἐπεὶ ἕζετο, λέγει τὰ ἔπεα τάδε,

Κλῦθι Ποσείδαων μεγαλοσθενὲς ἐννοσίγαιε,
Εὐρυχόρου μεδέων ἠδὲ ξανθοῦ Ἑλικῶνος.
Δὸς δ' οὖρον καλὸν καὶ ἀπήμονα νόστον ἰδέσθαι
Ναύταις, οἳ νηὸς πομποὶ ἠδ' ἀρχοὶ ἔασι.
Δὸς δ' ἐς ὑπώρειαν ὑψικρήμνοιο Μίμαντος
Αἰδοίων μ' ἐλθόντα βροτῶν ὁσίων γε κυρῆσαι.
Φῶτά τε τισαίμην, ὅς ἐμὸν νόον ἠπεροπεύσας,
Ὤδύσατο Ζῆνα ξένιον ξενίην τε τράπεζην.

ιη'. Ἐπεὶ δὲ ἀπίκοντο εὐπλοήσαντες ἐς τὴν Ἐρυθραίην, τότε Ὅμηρος τὴν αὐλὴν c ἐπὶ τῷ πλοίῳ ἐποιήσατο· τῇ δὲ ὑστεραίῃ ἔχρηζε τῶν ναυτέων τινὰ ἡγήσασθαι αὐτῷ ἐς τὴν πόλιν. οἱ δὲ συνέπεμψαν ἕνα αὐτῶν. πορευόμενος δὲ Ὅμηρος ἐπεὶ ἔτυχε τῆς Ἐρυθραίης, τρηχείης καὶ ὀρεινῆς ἐούσης, φθέγγεται τάδε τὰ ἔπεα d,

a Sic cum Pal. etiam MS. Ox. vulgo πολλὸν ἔχει fubftantivo omiffo. b Sic MS. Ox. vulgo πολλά τε προσαγωγά. c Pal. κοῖλιν. d Sic uterque MSS.

Πότνια γῆ, πάνδωρε, δότειρα μελίφρονος ὄλβυ,
Ὡς ἄρα δὴ τοῖς μὲν φωτῶν εὔοχθος ἐτύχθης,
Τοῖσι δὲ δύσβωλος ϗ τρηχεῖ' οἷς ἐχολώθης.

ἀπικόμενος δὲ ἐς τὴν πόλιν τῶν Ερυθραίων ἐπηρώτησε περὶ τῦ ἐς τὴν Χῖον πλῦ· καί τινος προσελθόντος αὐτῷ τῶν ἑωρακότων ἐν τῇ Φωκαίῃ, ϗ ἀσπασαμένυ, ἔχρηζεν αὐτῦ συνεξευρεῖν αὐτῷ πλοῖον, ὅπως ἂν εἰς τὴν Χίον διαβαίη.

ιθ'. Εκ μὲν δὴ τῦ λιμένος ὐδὲν ἦν ἀπόσολον, ἄγει δὲ αὐτὸν ἔνθα τῶν ἁλιέων τὰ πλοῖα ὁρμίζεται. καί πως ἐντυγχάνει μέλλυσι τισὶ διαπλεῖν ἐς τὴν Χίον, ὧν ἐδέετο προσελθὼν ὁ ἄγων αὐτὸν ἀναλαβεῖν τὸν Ὅμηρον. οἱ δὲ, ὐδένα λόγον ποιησάμενοι, ἀνήγοντο· ὁ δὲ Ὅμηρος φθέγγεται τάδε τὰ ἔπεα,

Ναῦται ποντοπόροι συγερῇ ἐναλίγκιοι ἄτῃ,
Πτωχάσιν αἰθυίῃσι βίον δύσζηλον ἔχοντες,
Αἰδεῖσθε ξενίοιο Διὸς σέβας ὑψιμέδοντος.
Δεινὴ γὰρ μέτοπις ξενίυ Διὸς, ὅς κ' ἀλίτηται.

ἀναχθεῖσι δὲ αὐτοῖς συνέβη, ἐναντίυ ἀνέμυ γινομένυ, παλινδρομῆσαι, καὶ ἐς τὸ χωρίον ἀναδραμεῖν ὅθεν ἀνηγάγοντο, καὶ τὸν Ὅμηρον ἀναλαβεῖν καθήμενον ἐπὶ τῆς κυματωγῆς. μαθὼν δὲ αὐτὺς πεπαλινδρομηκότας, ἔλεξε τάδε, ' Ὑμᾶς ὦ ξεῖνοι ἔλαβεν ὁ ἄνεμος ' ἀντίος γινόμενος· ἀλλ' ἔτι καὶ νῦν με δέξασθε, καὶ ' ὁ πλῦς ὑμῖν ἔσται.' οἱ δ' ἁλιεῖς, ἐν μεταμελίῃ c γενόμενοι ὅτι ὐ πρότερον ἐδέξαντο, εἰπόντες ὅτι ὐ κατα-

c Pal. μεταμελείῃ

'O ſacra multorum largitrix terra bonorum,
'Quàm tu plana aliis et parte aequalis ab omni;
'Aſpera contra aliis, in quos converteris iram.'

Ingreſſus deinde Erythracorum urbem, percontatur de navigatione verſus Chium. Et quum forte quidam occurriſſet ſalutaturus, qui eum in Phocaea viderat, ab hoc contendit ut ſecum diſpiceret ſicubi navis eſſet qua in Chium tranſmitteret.

19. Et quum in portu nullum eſſet trajectiсium navigium, ille Homerum ad eum locum ducit, ubi piſcatoriae naviculae ſtationem habebant. Et forte fortuna incidit in quoſdam in Chium trajecturos. Hos adiens ille qui ducebat eum, precatus eſt ut Homerum acciperent. Verum illi nulla ratione ejus habita ſolverunt, Homerus autem haec cecinit carmina,

'Inſidi nautae, gens diris triſtior ipſis,
'Saeva quibus veluti mergis dant aequora victum,
'Acriter a vobis Jovis hoſpitis ara colatur.
'Triſtis enim vultus Jovis eſt, poenaeque paratae,
'His quibus hoſpitii non eſt pia teſſera curae.'

At vero in altum jam provectis contigit, ut adverſo vento rapti, eodem unde ſolverant recurrerent, ubi etiamdum Homerum in litoris crepidine conſidentem offenderunt. qui cognito navis recurſu, hunc in modum eos alloquitur, 'Vos, ô peregrini, ventus adver- 'ſus excepit; ſed me nunc quoque admittite, et ſecunda 'vobis navigatio erit.' Piſcatores autem, poenitentia

S 3

ducti quod prius hominem non receperant, testatique se non relicturos eum si velit simul navigare, jubent navem conscendere.

20. Recepto Homero vela faciunt, et iter peragunt. Quibus ad sua opera digressis, Homerus in litore ea nocte mansit. Ubi diluxit, itineri se accingens oberransque, ad eum locum pervenit qui appellatur Pinus: illicque quiescenti per noctem pini fructus est illapsus, quem aliqui στρόβιλοι, alii κῶνοι appellant. Homerus autem hos cecinit versus,

'Funduntur fructus alia magis arbore dulces,
'Quam fovet umbrosis felix in collibus Ida:
'Hinc ferrum veniet Martis validaeque secures,
'His ubi consistet campis Cebrenia pubes.'

Eo enim tempore Cymaei Cebrenia ad Idam montem aedificare parabant, unde ferrum effoditur.

21. Ceterum illinc abiens Homerus, vocem caprarum ibidem pascentium sequutus, in canes incidit: qui quum adlatrarent, vociferabatur. Quod audiens Glaucus (id enim erat caprario nomen) accurrit festinanter, revocatosque canes, ab Homero excussit. Atque ubi diu admiratus fuisset, quod nimirum caecus existens solus eo locorum pervenisset et quid vellet, tandem accedens rogabat quisnam esset quibusque modis ad inhabitata illa et non calcata loca divertisset, et cujus rei indigens. Homerus, omnem suam calamitatem commemorans, ad commiserationem Glaucum pertraxit. si-

λιμπάνουσιν ἣν ἐθέλοι συμπλεῖν, ἐκέλευον ἐσβαίνειν· καὶ οὕτως ἀναλαβόντες αὐτὸν ἀνήχθησαν, καὶ ἴσχουσιν ἐπ' ἀκτῆς.

κ'. Οἱ μὲν δὴ ἁλιεῖς πρὸς ἔργον ἐτράπησαν· ὁ δὲ Ὅμηρος τὴν νύκτα ἐπὶ τοῦ αἰγιαλοῦ κατέμεινε, τὴν δὲ ἡμέραν πορευόμενος, καὶ πλανώμενος, ἀπίκετο εἰς τὸ χωρίον ὃ Πίτυς καλεῖται. κἀνταῦθα αὐτῷ ἀναπαυομένῳ τὴν νύκτα, ἐπιπίπτει καρπὸς τῆς πίτυος ὃν δὴ μετεξέτεροι στρόβιλον, οἱ δὲ κῶνον καλέουσιν. ὁ δὲ Ὅμηρος φθέγγεται τὰ ἔπη f τάδε,

Αλλη τίς σου πεύκη ἀμείνονα καρπὸν ἵησιν
Ιδης ἐν κορυφῇσι πολυπτύχου ἠνεμοέσσης,
Ενθα σίδηρος Αρηος ἐπιχθονίοισι βροτοῖσιν
Εσσεται, εὖτ' ἄν μιν Κεβρήνιοι ἄνδρες ἔχωσι.

τὰ δὲ Κεβρήνια τοῦτον τὸν χρόνον κτίζειν οἱ Κυμαῖοι παρεσκευάζοντο πρὸς τῇ Ιδῃ, καὶ γίνεται αὐτόθι σίδηρος.

κα'. Εντεῦθεν ἀναστὰς Ὅμηρος ἐπορεύετο κατὰ φωνήν τινα αἰγῶν νεμομένων. ὡς δὲ ὑλάκτεον αὐτὸν οἱ κύνες, ἀνέκραγεν. ὁ δὲ Γλαῦκος ὡς ἤκουσε τῆς φωνῆς, (ἦν γὰρ τοῦτο ὄνομα τῷ νέμοντι τὰς αἶγας) ἐπέδραμεν ὀτραλέως, τάς τε κύνας ἀνεκαλεῖτο, καὶ ἀπεσόβησεν ἀπὸ τοῦ Ὁμήρου. ἐπὶ πολὺν δὲ χρόνον ἐν θωύματι ἦν, ὅκως τυφλὸς ὤν, μόνος ἀπίκοιτο ἐς τοιούτους χώρους, καὶ ὅ,τι θέλων· προσελθών τέ μιν ἱστόρεεν ὅστις τε ἦν, καὶ τίνι τρόπῳ ἀπίκοιτο ἐς τόπους ἀοικήτους καὶ ἀστιβέα χωρία, καὶ τίνος κεχρημένος εἴη. ὁ δὲ Ὅμηρος, αὐτῷ πᾶσαν τὴν ἑωϋτοῦ πάθην καταλεγόμενος, εἰς οἶκτον

f Pal. ἔπια.

προηγάγετο. ἦν γὰρ, ὡς ἔοικεν, ὐδ' ἀγνώμων ὁ Γλαῦκος. ἀναλαβὼν δὲ αὐτὸν ἀνήγαγε ἐπὶ τὸν ϛαθμόν· πῦρ τε ἀνακαύσας g, δεῖπνον παρασκευάζει, ϗ παραθεὶς, δειπνεῖν ἐκέλευεν ὁ Γλαῦκος.

κϐ'. Τῶν δὲ κυνῶν μὴ ἐσθιόντων καὶ ὑλακτύντων δειπνῦντα, καθάπερ εἰώθεσαν, λέγει πρὸς τὸν Γλαῦκον Ὅμηρος τὰ ἔπεα τάδε,

Γλαῦκε πέπων, ἐπιὼν τὸ ἔπος τό ἐνὶ φρεσὶ θήσω·
Πρῶτον μὲν κυσὶ δεῖπνον ἐπ' αὐλείῃσι θύρῃσι
Δῦναι. ὣς γδ ἄμεινον· ὃ γδ καὶ πρῶτον ἀκύει
Ανδρὸς ἐπερχομένυ, καὶ ἐς ἕρκεα θηρὸς ἰόντος.

ταῦτα ἀκύσας ὁ Γλαῦκος, ἥσθη τῇ παραινέσει, καὶ ἐν θαύματι εἶχεν αὐτόν. δειπνήσαντες δὲ, διὰ λόγων εἱςιῶντο. ἀπηγεομένυ δὲ Ὁμήρυ τήν τε πλάνην τὴν ἑωϋτῦ καὶ τὰς πόλεις ἃς ἐςαπίκοιΐο, ἔκπληκτος ἦν ὁ Γλαῦκος ἀκύων h. καὶ τότε μὲν, ἐπεὶ ὥρη κοίτυ ἦν, ἀνεπαύετο i.

κγ'. Τῇ δ' ὑςεραίῃ διενοήθη ὁ Γλαῦκος πρὸς τὸν δεσπότην πορευθῆναι, σημανέων τὰ περὶ Ὁμήρυ. ἐπιτρέψας δὲ τῷ συνδύλῳ νέμειν τὰς αἶγας, τὸν Ὅμηρον καταλείπει ἔνδον, εἰπὼν πρὸς αὐτὸν, ὅτι διαταχέων πορεύσομαι. καταβὰς δὲ ἐς Βολισσὸν, (ἔςι δὲ πλησίον τῦ χωρίυ τύτυ) καὶ συγγενόμενος τῷ δεσπότῃ, ἀπηγέετο ὑπὲρ Ὁμήρυ πᾶσαν τὴν ἀλήθειαν, περί τε αὐτῦ τῆς ἀφίξιος, ἐν θωΰμαΐι ποιύμενος· ἠρώτεέ τε k ὅ,τι χρὴ ποιέειν περὶ αὐτῦ. ὁ δὲ ὀλίγα μὲν προσίετο

g Sic MS. Ox. vulgo πῦρ δὲ ἀνακαύσας. h Pal. ἰσακύων. i Pal. ἀνέπαυε. k Pal. ποιύμενος· ἠρώτα τε.

quidem homo erat (ut apparet) cordatus. Excipiens igitur Homerum, ad suum deduxit tugurium, incensoque igne coenam instruxit: qua apposita jussit coenare hospitem.

22. At vero quum canes a cibo abstinentes non cessarent suo more coenitantem adlatrare, Homerus Glaucum his versibus alloquitur,

'Glauce precor, paucis me audi, pareque monenti:
'Prae foribus stabuli canibus sua fercula primum
'Fac tradas: nam sic melius. custodibus illis,
'Nec fera nec fures venient ad septa dolosi.'

Haec audiens Glaucus, laetatus est admonitione illa, habuitque hominem in admiratione. Coenati autem, ultro citroque habitis sermonibus oblectabantur. Nam quum Homerus errorem suum, civitatesque quas adiisset, commemoraret, Glaucus haec audiens stupebat: Et tunc quidem, quia cubandi tempus erat, quieti se dabat.

23. Postero die Glaucus cogitavit ad herum suum proficisci, ad haec de Homero indicanda. Proinde commissis conservo capris pascendis, Homerum intra tecta reliquit, promittens se quam festinantissime iturum. Descendens autem ad Bolissum (erat vicinum huic loco) herumque suum adiens, narravit de Homero, quemadmodum res se habebat; deque ejus adventu, quem pro miraculo duceret: demum rogat quid facere in eo conveniat. Herus parum delectatus hoc nuntio, coepit cum

Glauco ut ſtupido expoſtulare, qui quoslibet mutilos reciperet aleretque; tamen praecepit ut hoſpitem ad ſe perduceret.

24. Glaucus vero ad Homerum reverſus narravit, juſſitque ſequi ſe in urbem. fore enim haec ei ad felicem fortunae ſucceſſum. Quibus non gravatim aſſentiens Homerus, caprarium ſequitur. Hic Chius colloquutus cum Homero reperit hominem eſſe politum et multorum peritum, coepit ſuadere ei ut apud ſe commoraretur, liberorumque quos habebat adoleſcentes, formandorum curam ſuſciperet. Ille accepta conditione, pueros ſibi creditos erudivit. Interim Cercopas, Batrachomyomachiam, Epicichlidas, et alia omnia quaecunque juvenilia ludicra Homeri extant, apud Chium illum condidit in Boliſſo; ita ut ex poëſi coeperit per urbem inclareſcere. Jam vero Theſtorides, ut primum intellexit Homerum adeſſe, navigans e Chio fugam capeſſebat.

25. Deinde progreſſu temporis impetrata ab hero Chium viſendi copia, urbem adiit, ludumque illic inſtituens, pueros carmina docebat. Id quum magna dexteritate Chiis facere videretur, etiam multos ſibi admiratores conciliavit. Hinc igitur victum parans copioſum, uxorem duxit, e qua duas ſuſcepit filias, quarum una deceſſit innupta, alteram viro Chio elocavit.

26. Enimvero hic poëſin excolens, gratiam reddidit, quam habuit; et primum quidem Mentori Ithacenſi, in Odyſſea, ut qui laborantem ex oculis impenſe curaviſſet in Ithaca, ejus nomine poëſi ſuae inſerto, quem Ulyſſis

τῶν λόγων, κατεγίνωσκε δὲ τῷ Γλαύκῳ ὡς ἄφρονος ἐόντος, καὶ τοὺς ἀναπήρους δεχομένου καὶ τρέφοντος. ἐκέλευσε δὲ ὅμως τὸν ξεῖνον ἄγειν πρὸς ἑαυτόν.

κδ΄. Ελθὼν δὲ πρὸς τὸν Ὅμηρον διηγήσατο ταῦτα ὁ Γλαῦκος, καὶ ἐκέλευσε a πορεύεσθαι τοῦτον· οὕτω γὰρ εὖ πρήξειν· ὁ δὲ Ὅμηρος ἤθελε πορεύεσθαι. ἀναλαβὼν οὖν αὐτὸν ὁ Γλαῦκος ἤγαγε πρὸς τὸν δεσπότην. διὰ λόγων δὲ ἰὼν τῷ Ὁμήρῳ ὁ Χῖος, εὑρίσκει ἐόντα δεξιὸν καὶ πολλῶν ἔμπειρον· ἔπειθέ τε αὐτὸν μένειν, καὶ τῶν παιδίων ἐπιμέλειαν ποιεῖσθαι· ἦσαν γὰρ τῷ Χίῳ παῖδες ἐν ἡλικίῃ. τούτους οὖν αὐτῷ παρατίθησι παιδεύειν. ὁ δὲ ἔπρησσε ταῦτα· καὶ τοὺς κέρκωπας, καὶ βατραχομυομαχίαν, καὶ ἐπικιχλίδας, καὶ τἄλλα πάντα ὅσα παίγνια ἐστιν Ὁμήρου, ἐνταῦθα ἐποίησε παρὰ τῷ Χίῳ ἐν Βολισσῷ. ὥστε καὶ ἐν τῇ πόλει περιβόντος ἤδη ἐγένετο ἐν τῇ ποιήσει. καὶ ὁ μὲν Θεστορίδης, ὡς τάχιστα ἐπύθετο αὐτὸν παρεόντα, ᾤχετο ἐκπλέων ἐκ τῆς Χίου.

κε΄. Χρόνου δὲ προϊόντος, δεηθεὶς τοῦ Χίου πορεῦσαι αὐτὸν εἰς τὴν Χίον, ἀπίκετο εἰς τὴν πόλιν· καὶ διδασκαλεῖον κατασκευασάμενος, ἐδίδασκε παῖδας τὰ ἔπεα. καὶ κάρτα δεξιὸς ἐδόκεεν εἶναι τοῖς Χίοις, καὶ πολλοὶ θωϋμασαὶ αὐτοῦ καθεστήκεσαν. συλλεξάμενος δὲ βίον ἱκανὸν, γυναῖκα ἔγημεν ἐξ ἧς αὐτῷ θυγατέρες δύο ἐγένοντο· καὶ ἡ μὲν αὐτῶν ἄγαμος ἐτελεύτησε, τὴν δὲ συνῴκισεν ἀνδρὶ Χίῳ.

κϛ΄. Επιχειρήσας δὲ τῇ ποιήσει, ἀπέδωκε χάριν ἣν εἶχε, πρῶτον μὲν Μέντορι τῷ Ἰθακησίῳ ἐν τῇ Οδυσσείᾳ, ὅτι μιν κάμνοντα τοὺς ὀφθαλμοὺς ἐν Ἰθάκῃ ἐνοσήλευσεν b ἐκτενῶς, τοὔνομα αὐτοῦ ἐναρμόσας ἐς τὴν ποίη-

a Pal. ἐκέλευε. b Pal. ἐνοσήλευεν.

σιν, Ὀδυσσέως τε ἑταῖρον φὰς εἶναι· ποιήσας, Ὀδυσσέα, ὡς ἐς Τροίην ἔπλεε, Μέντορι ἐπιτρέψαι τὸν οἶκον, ἐόντι Ἰθακησίων ἀρίστῳ καὶ δικαιοτάτῳ. πολλαχῆ δὲ καὶ ἄλλη τῆς ποιήσεως τιμῶν αὐτὸν, τὴν Ἀθηνᾶν, ὁπότε ἐς λόγον τινὶ καθίσταται, τῷ Μέντορι εἰκυίην ποιεῖ. ἀπέδωκε δὲ καὶ Φημίῳ τῷ ἑαυτοῦ διδασκάλῳ τροφεῖα καὶ διδασκαλεῖα ἐν τῇ Ὀδυσσείᾳ c, μάλιστα ἐν τοῖσδε τοῖς ἔπεσι,

Κήρυξ δ' ἐν χερσὶν κίθαριν περικαλλέ' ἔθηκε
Φημίῳ, ὅστις πολλὸν ἐκαίνυτο πάντας ἀείδων.

καὶ πάλιν,

Αὐτὰρ ὃ φορμίζων ἀνεβάλλετο καλὸν ἀείδειν.

μέμνηται δὲ καὶ τοῦ ναυκλήρου, μεθ' οὗ ἐκπεριέπλευσεν, καὶ εἶδε πόλιάς τε πολλὰς καὶ χώρας, (ᾧ ὄνομα ἦν Μέντης) ἐν τοῖς ἔπεσι τοῖσδε,

Μέντης Ἀγχιάλοιο δαΐφρονος εὔχομαι εἶναι
Υἱὸς, ἀτὰρ Ταφίοισι φιληρέτμοισιν ἀνάσσω.

ἀπέδωκε δὲ χάριν καὶ Τυχίῳ τῷ σκυτεῖ, ὃς ἐδέξατο αὐτὸν ἐν τῷ Νέῳ τείχει, προσελθόντα πρὸς τὸ σκυτεῖον, ἐν τοῖς ἔπεσι καταζεύξας ἐν τῇ Ἰλιάδι τοῖσδε,

Αἴας δ' ἐγγύθεν ἦλθε, φέρων σάκος ἠΰτε πύργον,
Χάλκεον, ἑπταβόειον· ὅ οἱ Τύχιος κάμε τεύχων,
Σκυτοτόμων ὄχ' ἄριστος, Ὕλῃ ἔνι οἰκία ναίων.

c Pal. Ὀδυσσείῃ.

dicit esse socium: cujus fidei Ulysses, Trojam navigans, domum familiamque crediderit, tanquam Ithacensium praestantissimo atque aequissimo. Saepe etiam aliis poëmatis locis eundem laudibus vehit, siquidem Minervam quoties in sermonem cum aliquo venit, Mentori tradit assimulatam. Ad haec Phemio praeceptori suo gratiam eruditionis simul et nutricationis in Odyssea retulit, praecipue in his versibus,

'Phemius at cunctis praestantior arte canendi
'Insignem citharam, dederat quam praeco, tenebat.

Et rursum,

'Fundere et hanc pulsans modulamina dulcia coepit.

Meminit et naucleri, in cujus comitatu circumnavigans, urbes locaque plurima perlustravit. Huic nomen erat Mentae: cujus meminit his versibus,

'Anchialo Mentes forti genitore creatus,
'Imperito Taphiis, quibus est ars nautica cordi.'

Habuit etiam Tychio coriario gratiam, qui venientem ad sutrinam apud Novum murum hospitio excepisset. Hunc enim Iliadi inserit his versibus,

'Comminus accessit clypeo septemplice tutus
'Ajax: huic clypeum turris fabricarat ad instar
'Urbe in Hyle Tychius: non sutor doctior alter.'

27. A poësi vero hac inclarescit Homerus circa Ioniam; jam et in ipsam usque Graeciam de eodem sermo perferebatur. Et quum habitaret in Chio multis visitatum venientibus, eruditionis existimatione augescens, inciderunt qui suaderent ut in Graeciam se transferret. Quod consilium admittens, impense cupiebat illuc demigrare.

28. Commodumque intelligens Argos multis egregiisque elogiis celebratum, Athenas non item, poësi suae inserit, in majori quidem Iliade hos versus, quibus Erechtheum magnifice laudibus vehit, in navium catalogo,

' Ortum ab Erechtheo populum: nutriverat illum
' Pallas Erechtheum, tellus quem vasta crearat.'

Menestheum etiam, ducem Atheniensium, tradit in exercitu tam pedestri quam equestri ordinando peritissimum, idque his carminibus,

' Hos tunc ducebat patria virtute Menestheus
' Maximus: huic nemo poterat certare regendis,
' Aut etiam ornandis vel equis, vel in arcta locandis
' Agmina militibus.'

Ajacem vero Telamonium ipsosque Salaminios Atheniensibus in navium nomenclatore annumeravit, sic scribens,

' Bis sex e Salamine rates Telamonius Ajax
' Egit, et adduxit statuens in litore juxta
' Cecropias naves.'

Postremo in Odyssea Minervam, postquam cum Ulysse

κζ'. Ἀπὸ δὲ τῆς ποιήσεως ταύτης εὐδοκιμεῖ Ὅμηρος περί τε τὴν Ἰωνίαν, καὶ ἐς τὴν Ἑλλάδα ἤδη περὶ αὐτοῦ λόγος ἀναφέρεται· καὶ οἰκέων δὲ ἐν τῇ Χίῳ, καὶ εὐδοκιμέων περὶ τὴν ποίησιν, ἀπικεομένων πολλῶν, συνεβούλευον οἱ ἐντυγχάνοντες αὐτῷ ἐς τὴν Ἑλλάδα ἀπικέσθαι· ὁ δὲ προσεδέξατο τὸν λόγον, καὶ κάρτα ἐπεθύμει ἀποδημῆσαι.

κη'. Κατανοήσας δὲ ὅτι ἐς μὲν Ἄργος πολλαὶ καὶ μεγάλαι εἶεν εὐλογίαι πεποιημέναι, ἐς δὲ τὰς Ἀθήνας οὔ, ἐμποιεῖ ἐς τὴν ποίησιν, ἐς μὲν Ἰλιάδα τὴν μεγάλην, Ἐρεχθέα μεγαλύνων ἐν νεῶν καταλόγῳ, τὰ ἔπεα τάδε,

Δῆμον Ἐρεχθῆος μεγαλήτορος, ὅν ποτ' Ἀθήνη
Θρέψε Διὸς θυγάτηρ, τέκε δὲ ζείδωρος ἄρουρα.

καὶ τὸν στρατηγὸν αὐτῶν Μενεσθέα, ὡς πάντων εἴη ἄριστος τάξαι πεζὸν στρατὸν καὶ ἱππότας, ἐν τοῖσδε τοῖς ἔπεσιν εἶπε,

Τῶν αὖθ' ἡγεμόνευ' υἱὸς Πετεῶο Μενεσθεύς·
Τῷ δ' οὔπω τὶς ὁμοῖος ἐπιχθόνιος γένετ' ἀνὴρ
Κοσμῆσαι ἵππους τε καὶ ἀνέρας ἀσπιδιώτας.

Αἴαντα δὲ τὸν Τελαμῶνος καὶ Σαλαμινίους ἐν νεῶν καταλόγῳ ἔταξε πρὸς Ἀθηναίους, λέγων τάδε,

Αἴας δ' ἐκ Σαλαμῖνος ἄγεν δυοκαίδεκα νῆας,
Στῆσε δ' ἄγων ἵν' Ἀθηναίων ἵσταντο φάλαγγες.

ἐς δὲ τὴν Ὀδυσσείην τάδε ἐποίησεν, ὡς Ἀθηνᾶ ἐς λόγους

ἐλθοῦσα τῷ Ὀδυσσεῖ ἐς τὴν Ἀθηναίων πόλιν ἀπίκετο, τιμῶσα ταύτην τῶν ἄλλων πολλῷ μάλιστα,

Ἵκετο δ' ἐς Μαραθῶνα ϗ εὐρυχόρους ἐς Ἀθήνας·
Δῦνε δ' Ἐρεχθῆος πυκινὸν δόμον.

λθ'. Ἐμποιήσας δὲ ἐς τὴν ποίησιν ταῦτα, ϗ παρασκευασάμενος, ἐς Ἑλλάδα βουλόμενος ποιεῖσθαι d τὸν πλοῦν, προσίσχει τῇ Σάμῳ. ἔτυχον δὲ οἱ ἐκεῖσε τὸν τότε καιρὸν ἄγοντες ἑορτὴν Ἀπατούρια· καί τις τῶν Σαμίων ἰδὼν τὸν Ὅμηρον ἀπιγμένον, πρότερον αὐτὸν ἐπιστάμενος ἐν Χίῳ, ἐλθὼν ἐς τοὺς φράτορας διηγήσατο, ἐν ἐπαίνῳ μεγάλῳ ποιεύμενος αὐτόν. οἱ δὲ φράτορες ἐκέλευον ἄγειν αὐτόν· ὁ δέ, ἐντυχὼν τῷ Ὁμήρῳ, ἔλεξεν, ' Ὦ ξένε, Ἀπατούρια ἀγούσης τῆς πόλιος, καλοῦσί σε οἱ ' φράτορες οἱ ἡμέτεροι συνεορτάσοντα.' ὁ δὲ Ὅμηρος ἔφη ταῦτα ποιήσειν, ϗ ἤει μετὰ τοῦ καλέσαντος.

λ'. Πορευόμενος δὲ ἐγχρίμπτεται γυναιξὶ Κουροτρόφῳ θυούσαις ἐν τῇ τριόδῳ. ἡ δὲ ἱέρεια εἶπε πρὸς αὐτὸν, δυσχεράνασα τῇ ὄψει, ' Ἀνερ ἀπὸ τῶν ἱερῶν.' ὁ δὲ Ὅμηρος ἐς θυμὸν τε ἔβαλε τὸ ῥηθὲν, καὶ ἤρετο τὸν ἄγοντα τίς τε εἴη ὁ φθεγξάμενος, καὶ τίνι θεῶν ἱερὰ θύεται. ὁ δὲ αὐτῷ διηγήσατο ὅτι γυνὴ εἴη Κουροτρόφῳ θύουσα. ὁ δὲ, ἀκούσας, λέγει τάδε τὰ ἔπεα,

Κλῦθί μοι εὐχομένῳ Κουροτρόφε, δὸς δὲ γυναῖκα
Τήνδε νέων μὲν ἀνήνασθαι φιλότητα καὶ εὐνὴν,
Ἡ δ' ἐπιτερπέσθω πολιοκροτάφοισι γέρουσιν,
Ὧν ὥρη μὲν ἀπαμβλύνεται, θυμὸς δὲ μενοινᾷ.

d Pal. ποιήσασθαι.

in colloquium venerit, ad Athenienſium urbem, quam praecipue colebat, conceſſiſſe fingit.

'Ad Marathena dehinc et magnas venit Athenas,
'Tectaque Erechthei ſubiit.'

29. His ubi complevit ſuam poëſin, et apta omnia compoſuit, animo in Graeciam trajiciendi, Samum appulit: contigitque forte ut eodem tempore Samii Apaturia feſtum agerent. Hic Samius quidam agnito Homero (utpote quem jam ante in Chio vidiſſet) tribules ſuos adiens, indicavit ejus adventum cum multa hominis celebratione. Tribules vero jubebant adduci eum. Conveniens igitur Homerum Samius, 'Quandoquidem, 'inquit, hoſpes, Apaturiorum feſtum agit civitas, invi- 'tant te noſtri tribules ad idem feſtum concelebran- 'dum.' Homerus adſuturum ſe affirmans, comitatur invitantem.

30. Illuc pergens, in mulieres impegit quae Curotropho ſacra in trivio faciebant. Sacrifica occurſantis aſpectu indignata, exclamat, 'Vir, inquiens, faceſſas a 'ſacris.' Homerus dictum illud in animo volvens, rogabat quiſnam eſſet qui loqueretur, et cui deo ſacrificaretur. Dux ejus indicavit mulierem eſſe, quae Curotropho ſacrificaret. Quod audiens Homerus, haec carmina protulit,

'Dive preces audito meas, mulierque face iſta
'Averſata torum juvenili aetate vigentum,
'Canorum veterumque ſenum capiatur amore,
'Eſt aetas effoeta quibus, ſed prompta voluntas.'

31. Ubi vero ad tribulium collegium acceſſit Homerus, jamque in limine conclavis, in quo epulabantur, conſtitit, aliqui narrant jam tum illic ardente igne poëtam cecinisse, alii poſtea eos accendiſſe, quàm carmina iſta ceciniſſet,

'Ut patris, nati, ſic turres ſunt decus urbis:
'Sic et equi campum decorant, ſic aequora naves,
'Sic et opes ornant aedes: praeſentia regum
'Auguſto in ſolio decorat fora lata ſedentum:
'At lucente domus multo eſt auguſtior igne.'

Ingreſſus autem et accumbens, cum tribulibus epulo fruens, in magno honore admirationeque eſt habitus, ibidemque ea nocte cubile ſibi paravit.

32. Craſtino die conſpicantes eum abeuntem figuli quidam in furno tenuiorem tegulam coquentes, quum intellexiſſent hominem eſſe eruditum, ad ſe vocantes juſſerunt canere, pollicentes cum tegulas, tum quidquid aliud haberent, ſe illi daturos. Homerus haec illis cecinit carmina quae vocantur Caminus, id eſt fornax.

'Si mihi mercedem dabitis figuli, iſta canemus.
'Huc ades o Pallas, dextraque foveto caminum,
'Pulchre ut dureſcant calices, et mollia cuncta
'Siccenturque probe, et figulis lucra magna reportent,
'Vendita perque forum multa, et per compita, multa.
'Sic illis quaeſtus creſcat, prudentia nobis.
'At ſi depoſito juvat irridere pudore,
'Huc precor ut peſtes veniant quaecunque per orbem
'Graſſantur, fundant et in hunc mala cuncta caminum.
'Irruat huc Smaragus, gravis Asbetus, atque Sa-
'bactes:

λα΄. Επεὶ δὲ ἦλθεν εἰς τὴν φρήτρην, καὶ τῷ οἴκῳ ἔνθα δὴ ἐδαίνυντο, ἐπὶ τὸν οὐδὸν ἔστη, οἱ μὲν λέγουσι, καιομένου πυρὸς ἐν τῷ οἴκῳ, οἱ δέ φασι τότε ἐκκαῦσαι σφᾶς, ἐπειδὴ Ὅμηρος τὰ ἔπεα εἶπεν,

Ἀνδρὸς μὲν στέφανος, παῖδες· πύργοι δὲ, πόληος·
Ἵπποι δ᾽ ἐν πεδίῳ κόσμος· νῆες δὲ, θαλάσσης·
Χρήματα δ᾽ αὔξει οἶκον· ἀτὰρ γεραροὶ βασιλῆες
Ἥμενοι εἰν ἀγορῇ, κόσμος τ᾽ ἄλλοισιν ὁρᾶσθαι.
Αἰθομένου δὲ πυρὸς γεραρώτερος οἶκος ἰδέσθαι.

εἰσελθὼν δὲ, καὶ κατακλιθεὶς e ἐδαίνυντο μετὰ τῶν φρατόρων· καὶ αὐτὸν ἐτίμων, καὶ ἐν θωύματι εἶχον· καὶ τότε μὲν τὴν κοίτην αὐτοῦ ἐποιήσατο Ὅμηρος.

λβ΄. Τῇ δὲ ἐσαύριον ἀποπορευόμενον ἰδόντες κεραμέες τινὲς, κάμινον ἐγκάοντες κεράμου λεπτοῦ, προσεκαλέσαντο αὐτὸν, πεπυσμένοι ὅτι σοφὸς εἴη· καὶ ἐκέλευόν σφιν ἀεῖσαι, φάμενοι δώσειν αὐτῷ τοῦ κεράμου, καὶ ὅ,τι ἂν ἄλλο ἔχωσιν. ὁ δὲ Ὅμηρος ἀείδει αὐτοῖς τὰ ἔπεα τάδε, ἃ καλεῖται κάμινος,

Εἰ μὲν δώσετε μισθὸν, ἀείσω, ὦ κεραμῆες.
Δεῦρ᾽ ἄγ᾽ Ἀθηναίη, καὶ ὑπείρεχε χεῖρα καμίνου·
Εὖ δὲ μελανθεῖεν κότυλοι, καὶ πάντα μάλ᾽ ἱρά·
Φρυχθῆναί τε καλῶς καὶ τιμῆς ὦνον ἀρέσθαι,
Πολλὰ μὲν εἰν ἀγορῇ πωλεύμενα, πολλὰ δ᾽ ἀγυιαῖς,
Πολλὰ δὲ κερδῆναι· ἡμῖν δὲ δὴ ὥς σφι νοῆσαι.
Ἢν δ᾽ ἐπ᾽ ἀναιδείην τρεφθέντες ψεύδε᾽ ἄρησθε,
Συγκαλέω δ᾽ ἤπειτα καμίνῳ δηλητῆρας,

e Sic MS. Ox. vulgo δὲ, κατακλιθεὶς.

Σύντριβ' ὁμῶς Σμάραγόν τε καὶ Ἄσβετον, ἠδὲ Σαβάκτην,
Ὠμόδαμόν θ' ὃς τῇδε τέχνῃ κακὰ πολλὰ πορίζει.
Πεῖθε πυραίθουσαν καὶ δώματα, σὺν δὲ κάμινος
Πᾶσα κυκηθείη, κεραμέων μέγα κωκυσάντων.
Ὡς γνάθος ἱππείη βρύκει, βρύκοι δὲ κάμινος,
Πάντ' ἔντοσθ' αὐτῆς κεραμήϊα λεπτὰ ποιοῦσα.
Δεῦρο καὶ ἠελίου θύγατερ πολυφάρμακε Κίρκη,
Ἄγρια φάρμακα βάλλε, κάκου δ' αὐτούς τε καὶ ἔργα.
Δεῦρο δὲ καὶ Χείρων ἀγέτω πολέας Κενταύρους·
Οἵ θ' Ἡρακλῆος χεῖρας φύγον, οἵ τ' ἀπόλοντο,
Τύπτοιεν τάδε ἔργα κακῶς, πίπτοι δὲ κάμινος.
Αὐτοὶ δ' οἰμώζοντες ὁρῴατο ἔργα πονηρά.
Γηθήσω δ' ὁρόων αὐτῶν κακοδαίμονα τέχνην.
Ὃς δέ χ' ὑπερκύψει, περὶ τούτου πᾶν τὸ πρόσωπον
Φλεχθείη· ὡς πάντες ἐπίσταιντ' αἴσιμα ῥέζειν.

λγ'. Παραχειμάζων δὲ ἐν τῇ Σάμῳ, ταῖς νουμηνίαις προσπορευόμενος πρὸς τὰς οἰκίας τὰς εὐδαιμονεστάτας, ἐλάμβανέ τι, ἀείδων τὰ ἔπεα τάδε ἃ καλεῖται Εἰρεσιώνη, (ὡδήγουν δὲ αὐτὸν καὶ συμπαρῆσαν ἀεὶ τῶν παίδων τινὲς τῶν ἐγχωρίων)

Δῶμα προσετραπόμεσθ' ἀνδρὸς μέγα δυναμένοιο,
Ὃς μέγα μὲν δύναται, μέγα δὲ βρέμει, ὄλβιος αἰεί.
Αὐταὶ ἀνακλίνεσθε θύραι· πλοῦτος γὰρ ἔσεισι
Πολλὸς, σὺν πλούτῳ δὲ καὶ εὐφροσύνη τεθαλυῖα,
Εἰρήνη τ' ἀγαθή. ὅσα δ' ἄγγεα, μεστὰ μὲν εἴη,
Κυρβαίη δ' αἰεὶ κατὰ καρδόπου ἕρπεο μᾶζα.

'Contere tu Pallas flammamque et vasa camini,
'Ille licet rapido multum nunc ferveat aestu.
'Insuper Omodamus feriatque et damna det arti.
'Omnia misceto, fornacem, vasa, domumque,
'Ut fragor immensus fiat, figulique tremiscant:
'Non secus ac malae crepitu clauduntur equinae,
'Sic subita fornax crepitetque cadatque ruina,
'Inque lutum redeant calices et vasa minuta.
'Huc quoque Solis ades nata, incantare perita,
'Inque ipsos et opus tua noxia sparge venena.
'Huc ducat longo Centauros agmine Chiron:
'Quique manu Herculea cecidere superque fuerunt,
'Illi contundant opus omne, ipsumque caminum
'In nihilum penitus redigant. figuli ista videntes
'Plorent, et lacrymis spectent ingentia damna.
'Improbitatis ego spectabo haec praemia laetus.
'Denique qui pronus fornacem respicit, illi
'Flamma vorax faciem circa penitusque perurat.
'Sic scelus agnoscent omnes, atque inde cavebunt.'

33. At vero in Samo hybernans, calendis beatiorum aedes adiens aliquid accipiebat, canens haec carmina, quae Eiresione, hoc est, ramalia, vocantur: ducente eum semper et comitante aliquot puerorum indigenarum choro,

'Venimus ad magnas aedes civemque potentem,
'Cujus divitiis resonat domus atque redundat.
'Vos aditum praebete fores: feliciter intrent
'Divitiae, et requies hilaris, Charitesque sequantur:
'Vasa opibus tumeant, nihil hic videatur inane;

'Sintque laboratae Cereris repleta caniſtra.
'Excelſo curru nurus hic portetur, et ipſam
'Veloci curſu revehant ad limina muli.
'Haec premat electrum pedibus, telaſque laboret,
'Aſt ego vos repetam, repetam (mihi crede) quot-
'annis,
'Non ſecus atque redit ſub tectum garrula Progne.
'Aſſumus in porta: ſeu munera ferre placebit,
'Seu nihil, eſt tamen hinc abeundi certa voluntas.
'Non etenim hic habitare diu nec adeſſe paramus.'

Atque haec carmina poſtea in Samo diu a pueris decantabantur, quoties in Apollinis feſto ſtipem colligebant.

34. Ineunte deinde vere moliebatur Homerus e Samo Athenas navigare: ſolvenſque una cum nonnullis incolarum, ad Ion appulit; ubi ſtationem non in urbe, ſed in litore habebant. Hic contigit Homerum graviter aegrotare: egreſſus igitur e navi, in crepidine litoris jacebat invalidus. Quumque diutius illic ob navigandi difficultatem remorarentur, ſubinde quidam deſcendentes ex urbe Homero vacabant, eumque audientes, reverenter obſervabant.

35. Jam vero nautis et aliquot e civitate illic apud Homerum conſidentibus, forte pueri piſcatores eo appulerunt: qui e navicula egreſſi, haec illis verba fecerunt, 'Agite hoſpites, audite nos, numquid ea quae vobis 'proponemus explicabitis?' Ibi e praeſentibus quidam jubebat proloqui. Illi, 'Nos, inquiunt, quaecunque 'cepimus, reliquimus: quae vero non cepimus, nobiſ-'cum portamus.' Et quum nemo ex praeſentibus in-

Τοῦ παιδὸς δὲ γυνὴ κατὰ διφράδα βήσεταί ὔμμιν·
Ἡμίονοι δ' ἄξουσι κραταίποδες ἐς τόδε δῶμα.
Αὐτὴ δ' ἱστὸν ὑφαίνοι ἐπ' ἠλέκτρῳ βεβαῦα.
Νεῦμαί σοι, νεῦμαι, ἐνιαύσιος, ὥστε χελιδών.
Ἕστηκ' ἐν προθύροισι· καὶ εἰ μέντοι f δώσεις, εἰ δὲ μή,
Οὐχ ἑστήξομεν· οὐ γὰρ συνοικήσοντες ἐνθάδε ἤλθομεν.

ᾔδετο δὲ τάδε ἐν τῇ Σάμῳ ἐπὶ πολὺν χρόνον ὑπὸ τῶν παίδων, ὅτε ἀγείροιεν ἐν τῇ ἑορτῇ τοῦ Ἀπόλλωνος.

λδʹ. Ἀρχομένου δὲ τοῦ ἔαρος, ἐπεχείρησε πλεῖν Ὅμηρος εἰς τὰς Ἀθήνας ἐκ τῆς Σάμου. καὶ ἀναχθεὶς μετά τινων ἐγχωρίων, ἀπηνέχθη εἰς τὴν Ἴον· καὶ ὡρμίσθησαν οὐ κατὰ πόλιν, ἀλλ' ἐπ' ἀκτῆς. συνέβη δὲ τῷ Ὁμήρῳ κατὰ πολύ τι ἄρξασθαι μαλακῶς ἔχειν· ἐκβὰς δὲ ἐκ g τοῦ πλοίου, ἐκοιμᾶτο ἐπὶ τῆς κυματωγῆς ἀδυνάτως ἔχων. πλείους δὲ ἡμέρας ὁρμούντων αὐτῶν δι' ἀπλοίην, καταβαίνοντες αἰεί τινες τῶν ἐκ τῆς πόλιος, ἀπεσχόλαζον παρὰ τῷ Ὁμήρῳ, καὶ ἐν θωύματι εἶχον αὐτὸν, ἀκούοντες αὐτοῦ.

λεʹ. Τῶν δὲ ναυτέων, καὶ τῶν ἐκ τῆς πόλιος τινῶν ἡμένων παρὰ τῷ Ὁμήρῳ, κατέπλωσαν παῖδες ἁλιῆες τὸν τόπον, καὶ ἐκβάντες ἐκ τοῦ ἀκατίου, προσελθόντες αὐτοῖς τάδε εἶπον, ‛ Ἄγετε ὦ ξένοι, ἐπακούσατε ἡμέων, ‛ ἂν ἄρα δύνησθε διαγνῶναι ἅσσ' ἂν ὑμῖν εἴπωμεν. καί τις τῶν παρεόντων ἐκέλευε λέγειν· οἱ δὲ εἶπαν, ‛ Ἡμεῖς ‛ ἅσσα εἵλομεν, κατελίπομεν· ἃ δὲ μὴ εἵλομεν, φέρομεν. οἱ δέ φασιν μέτρῳ εἰπεῖν αὐτοὺς,

f Pal. μέν τι. g Pal. δ' ἐκ.

Ἅσσ' ἕλομεν, λιπόμεσθα· ἃ δ' οὐχ ἕλομεν, φερόμεσθα.

οὐ δυναμένων δὲ τῶν παρεόντων γνῶναι τὰ ῥηθέντα, διηγήσαντο οἱ παῖδες, ὅτι ἁλιεύοντες οὐδὲν ἐδύναντο ἑλεῖν· καθήμενοι δὲ ἐν γῇ, ἐφθειρίζοντο. καὶ ὅσους μὲν ἔλαβον τῶν φθειρῶν, κατέλιπον· ὅσους δὲ μὴ ἐδύναντο, ἐς οἴκους ἀπεφέροντο. ὁ δὲ Ὅμηρος, ἀκούσας ταῦτα, ἔλεξε τὰ ἔπεα τάδε,

Τοίων γὰρ πατέρων ἐξ αἵματος ἐκγεγάατε,
Οὔτε βαθυκλήρων, οὔτ' ἄσπετα μῆλα νεμόντων.

λϛ'. Ἐκ δὲ τῆς ἀσθενείας ταύτης συνέβη τὸν Ὅμηρον τελευτῆσαι ἐν Ἴῳ, οὐ παρὰ τὸ μὴ γνῶναι τὸ παρὰ τῶν παίδων ῥηθὲν (ὡς οἴονταί τινες) ἀλλὰ τῇ μαλακίῃ. τελευτήσας δὲ ἐν τῇ Ἴῳ, αὐτοῦ ἐπ' ἀκτῆς ἐτάφη ὑπό τε τῶν συμπλεόντων καὶ τῶν πολιτέων h ὅσοι ἐν διαλογῇ ἐγίνοντο i αὐτῷ. καὶ τὸ ἐλεγεῖον τόδε ἐπέγραψαν Ἰῆται ὕστερον χρόνῳ πολλῷ, ὡς ἤδη ἥ τε ποίησις ἐξεπεπτώκεε, καὶ ἐθαυμάζετο ὑπὸ πάντων· οὐδὲ Ὁμήρου ἐστίν.

Ἐνθάδε τὴν ἱερὴν κεφαλὴν κατὰ γαῖα καλύπτει k,
Ἀνδρῶν ἡρώων κοσμήτορα θεῖον Ὅμηρον.

λζ'. Ὅτι δὲ ἦν Αἰολεὺς Ὅμηρος, καὶ οὔτε Ἴων, οὔτε Δωριεύς, τοῖς τε εἰρημένοις δεδήλωταί μοι, καὶ δὴ καὶ τοῖσδε τεκμαίρεσθαι παρέχει· ἄνδρα ποιητὴν τηλικοῦτον εἰκός ἐστι τῶν νομίμων τῶν παρὰ τοῖς ἀνθρώποις ποιοῦντα ἐς τὴν ποίησιν, ἤτοι τὰ κάλλιστα ἐξ-

h Pal. πολιητέων. i Pal. ἐγεγένηντο. k Pal. κάλυψεν.

terpretari dicta posset, pueri explicabant: significantes nimirum, se, quum piscium nihil capere possent, desidentes in sicco, pediculos venari tentavisse; et horum quotquot cepissent reliquisse, quos autem nequiverunt, domos retulisse. Quae audiens Homerus, haec dixit carmina,

'Hi vos, o pueri, tales genuere parentes,
'Nec latis fundis, gregibus neque mille potentes.'

36. Ex hac autem infirmitate extremum diem clausit Homerus in Io, non (ut arbitrantur aliqui) aenigmatis perplexitate enectus, sed morbo. Extinctus vero in Io Homerus, a comitibus suis atque civibus qui in colloquio cum eo fuerant, in litore ibidem sepultus est. Cujus sepulcro multo post tempore Ietae, ubi poësis ejus jam publicata ab omnibus celebrabatur, hujusmodi inciderunt carmen elegiacum; neque est Homeri:

'Condit humus caput haec sacrum, qui versibus arma
'Fortia divinis heroum ornavit, Homerum.'

37. Porro quod Aeolensis fuerit Homerus, et non Ion, neque Doriensis, partim e jam dictis perspicuum esse poterit, partim etiam his conjecturis deprehenditur. Siquidem poëtam tantum, qui aliqua ex hominum moribus in suam poësin transferre studuerit, par est aut laudatissimos excogitasse, aut suos, quos patrios habe-

bat, commemorasse. Jam vero ipsi carmina ejus audientes, indidem pronunciabitis. nam sacrificii ritum probatissimum retulit aut ipse eundem excogitavit, aut quod cum patriis institutis conveniret. Sic enim inquit,

'Protractas jugulant pecudes, et tergora costis
'Deripiunt, femorumque toros et crura recidunt,
'In partesque secant geminas: tum pinguia nidor
'Viscera nube tegit densa.'

In his versibus de illis nulla mentio, quibus in sacrificiis tamen utebantur ceteri, praeter unam Aeolicam gentem, quae ilia non concremabat. Indicat praeterea his quoque versibus, quod Aeolensis existens, suae gentis ritibus usus sit,

—— 'tum segmina carnium
'Ipse focis multo crepitantibus admovet igni
'Cruda senex, et vina super nigrantia fundit:
'Quem verubus quinis juvenes onerata tenentes
'Brachia circumstant.'

Aeolenses enim soli intestina quinque verubus fixa torrebant, reliqui Graeci tribus. etenim πέμπε dicunt Aeolenses pro πέντε, id est, quinque.

38. Atque haec sane de genere, vita interituque Homeri a nobis relata sint. Ceterum aetatem Homeri siquis diligenter recteque ratiocinetur, ex hisce facile deprehendet. Nempe ab expeditione, quam Agamemnon et Menelaus in Ilium habuerunt, annis centum post atque triginta Lesbus oppidatim habitari coepit, quum antea nullam prorsus haberet civitatem. Post Lesbum habitatam annis viginti Cyme Aeolica et Phricotis ap-

ευρόντα ποιέειν, ἢ τὰ ἑωϋτῦ, πάτρια ἐόντα. ἤδη τοίνυν τὸ ἐνθένδε αὐτοὶ τῶν ἐπέων ἀκύοντες κρινεῖτε. ἱεροποιΐην γὰρ ἢ τὴν κρατίςην ἐξευρὼν ἐποίησεν, ἢ τῇ ἑωϋτῦ πατρίδι1 προσήκυσαν. λέγει γὰρ ὧδε,

Αὖ ἔρυσαν μὲν πρῶτα καὶ ἔσφαξαν καὶ ἔδειραν,
Μηρύς τ' ἐξέταμον, κατά τε κνίσῃ ἐκάλυψαν,
Δίπτυχα ποιήσαντες, ἐπ' αὐτῶν δ' ὠμοθέτησαν.

ἐν τύτοις ὑπὲρ ὀσφύος οὐδὲν εἴρηται, ἢ ἐς τὰ ἱερὰ χρέονται· μονώτατον γὰρ τῶν Ἑλλήνων τὸ Αἰολικὸν ἔθνος ὐ καίει ὀσφύν. δηλοῖ δὲ καὶ ἐν τοῖσδε τοῖς ἔπεσιν ὅτι Αἰολεὺς ὢν, τοῖς νόμοις τοῖς τύτων ἐχρῆτο,

Καῖε δ' ἐπὶ σχίζης ὁ γέρων, ἐπὶ δ' αἴθοπα οἶνον
Λεῖβε· νέοι δὲ παρ' αὐτὸν ἔχον πεμπώβολα χερσίν.

Αἰολέες γὰρ μόνοι τὰ σπλάγχνα ἐπὶ πέντε ὀβελῶν ὀπτῶσιν, οἱ δὲ ἄλλοι Ἕλληνες ἐπὶ τριῶν. καὶ γὰρ ὀνομάζυσιν οἱ Αἰολεῖς τὰ πέντε, πέμπε.

λη'. Τὰ μὲν ὖν ὑπὲρ τῆς γενέσιος καὶ τελευτῆς καὶ βίυ δεδήλωταί μοι. Περὶ δὲ ἡλικίης τῆς Ὁμήρυ, ἐκ τῶνδ' ἄν τις ἐπισκεπτόμενος, ἀκριβῶς καὶ ὀρθῶς λογίζοιτο. ἀπὸ γὰρ τῆς ἐς Ἴλιον ςρατείας, ἣν Αγαμέμνων καὶ Μενέλαος ἤγειραν, ἔτεσιν ὕςερον ἑκατὸν καὶ τριάκοντα Λέσβος ᾠκίσθη κατὰ πόλεις, πρότερον ἐῦσα ἄπολις. μετὰ δὲ Λέσβον οἰκισθεῖσαν ἔτεσιν ὕςερον εἴκοσι Κύμη ἡ Αἰολιῶτις καὶ Φρικῶτις καλεομένη

1 Sic MS. male vulgo ἑωϋτῦ πατρίδα, qui tamen male retinet τὴν.

ᾠκίσθη. μετὰ δὲ Κύμην, ὀκτωκαίδεκα ἔτεσιν ὕστερον Σμύρνα ὑπὸ Κυμαίων κατῳκίσθη· καὶ ἐν τούτῳ γίνεται Ὅμηρος. ἀφ᾽ οὗ δὲ Ὅμηρος ἐγένετο, ἔτεά ἐστιν ἑξακόσια εἰκοσιδύο μέχρι τῆς Ξέρξεω διαβάσεως, ἣν στρατευσάμενος ἐπὶ τοὺς Ἕλληνας, καὶ ζεύξας τὸν Ἑλλήσποντον, διέβη ἐκ τῆς Ἀσίας ἐς τὴν Εὐρώπην. ἀπὸ δὲ τούτου ῥηϊδίως ἐστὶν ἀριθμῆσαι τὸν χρόνον τῷ ἐθέλοντι ζητεῖν ἐκ τῶν ἀρχόντων Ἀθήνησι. τῶν δὲ Τρωϊκῶν ὕστερον γέγονεν Ὅμηρος ἔτεσιν ἑκατὸν ἑξηκονταοκτώ.

ΤΕΛΟΣ.

pellata habitata fuit. Porro a Cyme annis duodeviginti, in Smyrnam Cymaei coloniam deduxerunt: quo tempore natus fuit Homerus. Ab Homero autem nato anni ſunt ſexcenti viginti duo ad Xerxis uſque in Graeciam trajectum, qui videlicet juncto pontibus Helleſponto cum exercitu ex Aſia in Europam tranſivit. Ex his igitur tempus illud calculo colligere facile fuerit ei qui praetorum Athenienſium rationem habuerit. Centum autem et ſexaginta octo poſt Trojanum bellum annis extitit Homerus.

FINIS.

